by Greeks that Hera to-have-thrown having-been-born Hephaestus

ὁ δέ οἱ μνησικακῶν πέμψαι δῶρον χρυσοῦν θρόνον
he and to-her bearing-a-grudge to-have-sent gift golden throne
ἀφανεῖς δεσμοὺς ἔχοντα, καὶ τὴν μὲν ἐπεί τε ἐκαθέζετο
invisible bonds having and she indeed when — she-sat
δεδέσθαι, θεῶν δὲ τῶν μὲν ἄλλων οὐδενὶ τὸν Ἥφαιστον
to-have-been-bound of-gods and the indeed others to-none — Hephaestus
ἐθέλειν πείθεσθαι, Διόνυσος δὲ — μάλιστα γὰρ ἐς τοῦτον
to-wish to-obey Dionysus and most for to this
πιστὰ ἦν Ἡφαίστῳ — μεθύσας αὐτὸν ἐς οὐρανὸν
trustworthy was for-Hephaestus having-made-drunk him to heaven
ἤγαγε· ταῦτά τε δὴ γεγραμμένα εἰσὶ καὶ Πενθεὺς
brought these-things both indeed painted are and Pentheus
καὶ Λυκοῦργος ὧν ἐς Διόνυσον ὕβρισαν διδόντες
and Lycurgus for-what against Dionysus they-outraged paying
δίκας, Ἀριάδνη δὲ καθεύδουσα καὶ Θησεὺς ἀναγόμενος
penalty Ariadne and sleeping and Theseus putting-to-sea
καὶ Διόνυσος ἥκων ἐς τῆς Ἀριάδνης τὴν ἁρπαγήν.
and Dionysus having-come for — of-Ariadne the carrying-off
20.4 ἔστι δὲ πλησίον τοῦ τε ἱεροῦ τοῦ Διονύσου καὶ τοῦ
is and near the both sanctuary the of-Dionysus and the
θεάτρου κατασκεύασμα, ποιηθῆναι δὲ τῆς σκηνῆς αὐτὸ
theater structure to-have-been-made and of-the tent it
ἐς μίμησιν τῆς Ξέρξου λέγεται· ἐποιήθη δὲ καὶ δεύτερον,
in imitation the of-Xerxes is-said was-made and also second
τὸ γὰρ ἀρχαῖον στρατηγὸς Ῥωμαίων ἐνέπρησε Σύλλας
the for ancient general of-Romans burned Sulla
Ἀθήνας ἑλών. αἰτία δὲ ἥδε τοῦ πολέμου. Μιθριδάτης
Athens having-taken cause and this of-the war Mithridates
ἐβασίλευε βαρβάρων τῶν περὶ τὸν Πόντον τὸν Εὔξεινον.
was-king of-barbarians the about the Pontus the Euxine
πρόφασις μὲν δὴ δι' ἥντινα Ῥωμαίοις ἐπολέμησε καὶ
pretext indeed indeed because-of which on-Romans he-made-war and

ὃν τρόπον ἐς τὴν Ἀσίαν διέβη καὶ ὅσας ἢ πολέμῳ
in-what manner into — Asia he-crossed and how-many either by-war
βιασάμενος πόλεις ἔσχεν ἢ φίλας ἐποιήσατο, τάδε μὲν
having-forced cities he-held or friendly made these-things indeed
τοῖς ἐπίστασθαι τὰ Μιθριδάτου θέλουσι μελέτω· ἐγὼ
for-those to-know the-affairs of-Mithridates wishing let-them-concern I
δὲ ὅσον ἐς τὴν ἅλωσιν τὴν Ἀθηναίων ἔχει δηλώσω.
but as-much-as toward the capture the of-Athenians holds will-make-clear
ἦν Ἀριστίων Ἀθηναῖος, ᾧ Μιθριδάτης πρεσβεύειν 20.5
there-was Aristion Athenian whom Mithridates to-be-envoy
ἐς τὰς πόλεις τὰς Ἑλληνίδας ἐχρῆτο· οὗτος ἀνέπεισεν
to the cities the Greek used this-one persuaded
Ἀθηναίους Μιθριδάτην θέσθαι Ῥωμαίων ἐπίπροσθεν.
Athenians Mithridates to-place than-Romans before
ἀνέπεισε δὲ οὐ πάντας, ἀλλ' ὅσον δῆμος ἦν καὶ δήμου
persuaded but not all but as-much-as populace was and of-populace
τὸ ταραχῶδες· Ἀθηναῖοι δὲ ὧν τις λόγος, παρὰ τοὺς
the turbulent-part Athenians but of-whom some account to the
Ῥωμαίους ἐκπίπτουσιν ἐθελονταί. γενομένης δὲ μάχης
Romans escape volunteers having-taken-place and battle
πολλῷ περιῆσαν οἱ Ῥωμαῖοι, καὶ φεύγοντας Ἀριστίωνα
by-much prevailed the Romans and fleeing Aristion
μὲν καὶ Ἀθηναίους ἐς τὸ ἄστυ καταδιώκουσιν, Ἀρχέλαον
indeed and Athenians into the city they-chase Archelaus
δὲ καὶ τοὺς βαρβάρους ἐς τὸν Πειραιᾶ· Μιθριδάτου δὲ
but and the barbarians to — Piraeus of-Mithridates and
στρατηγὸς καὶ οὗτος ἦν, ὃν πρότερον τούτων Μάγνητες
general also this-one was whom before than-these Magnesians
οἱ τὸν Σίπυλον οἰκοῦντες σφᾶς ἐπεκδραμόντα αὐτόν τε
the(-ones) the Sipylus inhabiting them having-sallied-against him both
τιτρώσκουσι καὶ τῶν βαρβάρων φονεύουσι τοὺς πολλούς.
wound and of-the barbarians kill the most

20.6 Ἀθηναίοις μὲν δὴ πολιορκία καθειστήκει, Ταξίλος
for-Athenians indeed indeed siege was-established Taxilus
δὲ Μιθριδάτου στρατηγὸς ἐτύγχανε μὲν περικαθήμενος
and of-Mithridates general happened indeed besieging
Ἐλάτειαν τὴν ἐν τῇ Φωκίδι, ἀφικομένων δὲ ἀγγέλων
Elatea the in — Phocis having-arrived and messengers
ἀναστήσας τὸν στρατὸν ἐς τὴν Ἀττικὴν ἦγεν. ἃ
having-raised the army to — Attica led which-things
πυνθανόμενος ὁ στρατηγὸς τῶν Ῥωμαίων Ἀθήνας μὲν
learning the general of-the Romans Athens indeed
τοῦ στρατοῦ μέρει πολιορκεῖν ἀφῆκεν, αὐτὸς δὲ Ταξίλῳ
with-the army part to-besiege left himself and Taxilus
τὸ πολὺ τῆς δυνάμεως ἔχων ἐς Βοιωτοὺς ἀπαντᾷ. τρίτῃ
the most of-the force having to Boeotians meets on-third
δὲ ὕστερον ἡμέρᾳ τοῖς Ῥωμαίοις ἦλθον ἐπ᾽ ἀμφότερα
and later day to-the Romans came to both
τὰ στρατόπεδα ἄγγελοι, Σύλλᾳ μὲν ὡς Ἀθηναίοις εἴη τὸ
the camps messengers to-Sulla indeed that for-Athenians was the
τεῖχος ἑαλωκός, τοῖς δὲ Ἀθήνας πολιορκήσασι Ταξίλον
wall having-been-taken to-those and Athens having-besieged Taxilus
κεκρατῆσθαι μάχῃ περὶ Χαιρώνειαν. Σύλλας δὲ ὡς
to-have-been-defeated in-battle near Chaeronea Sulla and when
ἐς τὴν Ἀττικὴν ἐπανῆλθε, τοὺς ἐναντιωθέντας Ἀθηναίων
to — Attica returned those having-opposed of-Athenians
καθείρξας ἐς τὸν Κεραμεικὸν τὸν λαχόντα σφῶν
having-shut-up into the Ceramicus the(-one) having-drawn-the-lot of-them
ἐκ δεκάδος ἑκάστης ἐκέλευσεν ἄγεσθαι τὴν ἐπὶ θανάτῳ.
from ten each ordered to-be-led the to death
20.7 Σύλλου δὲ οὐκ ἀνιέντος ἐς Ἀθηναίους τοῦ θυμοῦ
Sulla and not relaxing toward Athenians the anger
λαθόντες ἐκδιδράσκουσιν ἄνδρες ἐς Δελφοὺς· ἐρομένοις
having-escaped-notice run-away men to Delphi having-asked

δέ σφισιν, εἰ καταλαμβάνοι τὸ χρεὼν ἤδη καὶ τὰς Ἀθήνας
and to-them if overtook the fate already also — Athens
ἐρημωθῆναι, τούτοις ἔχρησεν ἡ Πυθία τὰ ἐς τὸν ἀσκὸν
to-be-desolated to-these gave-oracle the Pythia the-things about the wineskin
ἔχοντα. Σύλλᾳ δὲ ὕστερον τούτων ἐνέπεσεν ἡ νόσος, ᾗ
relating to-Sulla and later than-these fell-on the disease by-which
καὶ τὸν Σύριον Φερεκύδην ἁλῶναι πυνθάνομαι. Σύλλᾳ
also the of-Syros Pherecydes to-have-been-taken I-learn to-Sulla
δὲ ἔστι μὲν καὶ τὰ ἐς τοὺς πολλοὺς Ἀθηναίων
and there-are indeed also the-things toward the many of-Athenians
ἀγριώτερα ἢ ὡς ἄνδρα εἰκὸς ἦν ἐργάσασθαι Ῥωμαῖον·
more-savage than as man likely was to-have-wrought Roman
ἀλλὰ γὰρ οὐ ταῦτα δὴ αἰτίαν γενέσθαι οἱ δοκῶ τῆς
but for not these indeed cause to-have-become to-him I-think of-the
συμφορᾶς, Ἱκεσίου δὲ μήνιμα, ὅτι καταφυγόντα ἐς
misfortune of-Zeus-of-Suppliants but wrath because having-taken-refuge into
τὸ τῆς Ἀθηνᾶς ἱερὸν ἀπέκτεινεν ἀποσπάσας Ἀριστίωνα.
the — of-Athena sanctuary he-killed having-dragged-away Aristion
Ἀθῆναι μὲν οὕτως ὑπὸ τοῦ πολέμου κακωθεῖσαι τοῦ
Athens indeed thus by the war having-been-ill-used the
Ῥωμαίων αὖθις Ἀδριανοῦ βασιλεύοντος ἤνθησαν·
of-Romans again Hadrian being-emperor flourished
εἰσὶ δὲ Ἀθηναίοις εἰκόνες ἐν τῷ θεάτρῳ καὶ τραγῳδίας 21.1
there-are and for-Athenians statues in the theater both of-tragedy
καὶ κωμῳδίας ποιητῶν, αἱ πολλαὶ τῶν ἀφανεστέρων·
and of-comedy of-poets the most of-the more-obscure
ὅτι μὴ γὰρ Μένανδρος, οὐδεὶς ἦν ποιητὴς κωμῳδίας
except — for Menander no-one was poet of-comedy
τῶν ἐς δόξαν ἡκόντων. τραγῳδίας δὲ κεῖνται τῶν
of-those to fame having-come of-tragedy but lie of-the
φανερῶν Εὐριπίδης καὶ Σοφοκλῆς. λέγεται δὲ Σοφοκλέους
famous Euripides and Sophocles is-said and Sophocles

τελευτήσαντος ἐσβαλεῖν ἐς τὴν Ἀττικὴν Λακεδαιμονίους,
having-died to-have-invaded into — Attica Lacedaemonians
καὶ σφῶν τὸν ἡγούμενον ἰδεῖν ἐπιστάντα οἱ Διόνυσον
and of-them the leader to-have-seen standing-by him Dionysus
κελεύειν τιμαῖς, ὅσαι καθεστήκασιν ἐπὶ τοῖς τεθνεῶσι,
to-bid with-honors as-many-as are-established for the dead
τὴν Σειρῆνα τὴν νέαν τιμᾶν· καί οἱ τὸ ὄναρ ἐς Σοφοκλέα
the Siren the new to-honor and to-him the dream to Sophocles
καὶ τὴν Σοφοκλέους ποίησιν ἐφαίνετο ἔχειν, εἰώθασι δὲ καὶ
and the of-Sophocles poetry appeared to-refer are-wont and also
νῦν ἔτι ποιημάτων καὶ λόγων τὸ ἐπαγωγὸν Σειρῆνι εἰκάζειν.
now still of-poems and of-speeches the attractive to-Siren to-liken
21.2 τὴν δὲ εἰκόνα τὴν Αἰσχύλου πολλῷ τε ὕστερον τῆς
the and statue the of-Aeschylus by-much both later than-the
τελευτῆς δοκῶ ποιηθῆναι καὶ τῆς γραφῆς ἣ τὸ
death I-think to-have-been-made and than-the painting which the
ἔργον ἔχει τὸ Μαραθῶνι. ἔφη δὲ Αἰσχύλος μειράκιον ὢν
deed has the at-Marathon said and Aeschylus lad being
καθεύδειν ἐν ἀγρῷ φυλάσσων σταφυλάς, καί οἱ Διόνυσον
to-sleep in country guarding grapes and to-him Dionysus
ἐπιστάντα κελεῦσαι τραγῳδίαν ποιεῖν· ὡς δὲ ἦν ἡμέρα —
standing-by to-bid tragedy to-make when and was day
πείθεσθαι γὰρ ἐθέλειν — ῥᾷστα ἤδη πειρώμενος ποιεῖν.
to-obey for to-wish most-easily now trying to-make
21.3 οὗτος μὲν ταῦτα ἔλεγεν· ἐπὶ δὲ τοῦ Νοτίου καλουμένου
this-one indeed these-things said on and the Southern called
τείχους, ὃ τῆς ἀκροπόλεως ἐς τὸ θέατρόν ἐστι
wall which of-the acropolis toward the theater is
τετραμμένον, ἐπὶ τούτου Μεδούσης τῆς Γοργόνος ἐπίχρυσος
turned on this of-Medusa the Gorgon gilded
ἀνάκειται κεφαλή, καὶ περὶ αὐτὴν αἰγὶς πεποίηται. ἐν δὲ
is-dedicated head and around it aegis is-made in and

τῇ κορυφῇ τοῦ θεάτρου σπήλαιόν ἐστιν ἐν ταῖς πέτραις ὑπὸ
the top of-the theater cave is in the rocks under
τὴν ἀκρόπολιν· τρίπους δὲ ἔπεστι καὶ τούτῳ· Ἀπόλλων δὲ
the acropolis tripod and stands-on also this Apollo and
ἐν αὐτῷ καὶ Ἄρτεμις τοὺς παῖδάς εἰσιν ἀναιροῦντες τοὺς
in it and Artemis the children are killing the
Νιόβης. ταύτην τὴν Νιόβην καὶ αὐτὸς εἶδον ἀνελθὼν
of-Niobe this — Niobe also myself saw having-gone-up
ἐς τὸν Σίπυλον τὸ ὄρος· ἡ δὲ πλησίον μὲν πέτρα καὶ
to the Sipylus the mountain she and near indeed rock and
κρημνός ἐστιν οὐδὲν παρόντι σχῆμα παρεχόμενος γυναικὸς
cliff is no to-one-present shape offering of-woman
οὔτε ἄλλως οὔτε πενθούσης· εἰ δέ γε πορρωτέρω
neither otherwise nor mourning if but at-least farther-off
γένοιο, δεδακρυμένην δόξεις ὁρᾶν καὶ κατηφῆ γυναῖκα.
you-should-be weeping you-will-think to-see and downcast woman
ἰόντων δὲ Ἀθήνῃσιν ἐς τὴν ἀκρόπολιν ἀπὸ τοῦ θεάτρου 21.4
going and at-Athens to the acropolis from the theater
τέθαπται Κάλως· τοῦτον τὸν Κάλων ἀδελφῆς παῖδα ὄντα
is-buried Calos this — Calos of-sister son being
καὶ τῆς τέχνης μαθητὴν φονεύσας Δαίδαλος ἐς Κρήτην
and of-the craft pupil having-murdered Daedalus to Crete
ἔφυγε, χρόνῳ δὲ ὕστερον ἐς Σικελίαν ἐκδιδράσκει παρὰ
fled in-time and later to Sicily runs-away to
Κώκαλον. τοῦ δὲ Ἀσκληπιοῦ τὸ ἱερὸν ἔς τε τὰ ἀγάλματά
Cocalus — and of-Asclepius the sanctuary for both the statues
ἐστιν, ὁπόσα τοῦ θεοῦ πεποίηται καὶ τῶν παίδων, καὶ
is as-many-as of-the god have-been-made and of-the children and
ἐς τὰς γραφὰς θέας ἄξιον· ἔστι δὲ ἐν αὐτῷ κρήνη,
for the paintings of-sight worthy is and in it spring
παρ᾽ ἣν λέγουσι Ποσειδῶνος παῖδα Ἁλιρρόθιον θυγατέρα
by which they-say of-Poseidon son Halirrhothius daughter

Ἄρεως Ἀλκίππην αἰσχύναντα ἀποθανεῖν ὑπὸ Ἄρεως, καὶ
of-Ares Alcippe having-dishonored to-have-died by Ares and
δίκην ἐπὶ τούτῳ τῷ φόνῳ γενέσθαι πρῶτον.
trial for this the murder to-have-taken-place first
21.5 ἐνταῦθα ἄλλα τε καὶ Σαυροματικὸς ἀνάκειται θώραξ·
there other-things both and Sauromatic is-dedicated breastplate
ἐς τοῦτόν τις ἰδὼν οὐδὲν ἧσσον Ἑλλήνων τοὺς βαρβάρους
at this one looking no less than-Greeks the barbarians
φήσει σοφοὺς ἐς τὰς τέχνας εἶναι. Σαυρομάταις γὰρ οὔτε
will-say skilled in the arts to-be for-Sauromatae for neither
αὐτοῖς σίδηρός ἐστιν ὀρυσσόμενος οὔτε σφίσιν ἐσάγουσιν·
themselves iron is being-dug nor to-them they-import
ἄμικτοι γὰρ μάλιστα τῶν ταύτῃ βαρβάρων εἰσί. πρὸς
unmixed for most of-the there barbarians they-are for
οὖν τὴν ἀπορίαν ταύτην ἐξεύρηταί σφισιν· ἐπὶ μὲν τοῖς
then the want this has-been-devised by-them on indeed the
δόρασιν αἰχμὰς ὀστεΐνας ἀντὶ σιδήρου φοροῦσι, τόξα τε
spears points of-bone instead-of iron they-carry bows both
κράνινα καὶ ὀιστοὺς καὶ ὀστεΐνας ἀκίδας ἐπὶ τοῖς ὀιστοῖς·
of-cornel and arrows and bone tips on the arrows
καὶ σειραῖς περιβαλόντες τῶν πολεμίων ὁπόσους καὶ
and with-ropes having-thrown-round of-the enemies as-many-as also
τύχοιεν, τοὺς ἵππους ἀποστρέψαντες ἀνατρέπουσι
they-should-chance-on the horses having-turned-away they-overturn
τοὺς ἐνσχεθέντας ταῖς σειραῖς.
those caught in-the ropes
21.6 τοὺς δὲ θώρακας ποιοῦνται τὸν τρόπον τοῦτον. ἵππους
the and breastplates they-make the manner this mares
πολλὰς ἕκαστος τρέφει, ὡς ἂν οὔτε ἐς ἰδιωτῶν κλήρους
many each rears as — neither into of-private-men allotments
τῆς γῆς μεμερισμένης οὔτε τι φερούσης πλὴν ὕλης
the land having-been-divided nor anything bearing except wood

ἀγρίας ἅτε ὄντων νομάδων· ταύταις οὐκ ἐς πόλεμον
wild inasmuch-as being nomads these not for war
χρῶνται μόνον, ἀλλὰ καὶ θεοῖς θύουσιν ἐπιχωρίοις καὶ
they-use only but also to-gods they-sacrifice native and
ἄλλως σιτοῦνται. συλλεξάμενοι δὲ τὰς ὁπλὰς ἐκκαθήραντές
otherwise feed-on having-collected and the hoofs having-cleansed
τε καὶ διελόντες ποιοῦσιν ἀπ᾽ αὐτῶν ἐμφερῆ δρακόντων
both and having-split they-make from them like of-serpents
φολίσιν· ὅστις δὲ οὐκ εἶδέ πω δράκοντα, πίτυός γε εἶδε
to-scales whoever and not saw yet serpent of-pine at-least saw
καρπὸν χλωρὸν ἔτι· ταῖς οὖν ἐπὶ τῷ καρπῷ τῆς πίτυος
fruit green still to-the then on the fruit of-the pine
φαινομέναις ἐντομαῖς εἰκάζων τὸ ἔργον τὸ ἐκ τῆς ὁπλῆς
appearing segments likening the work the from the hoof
οὐκ ἂν ἁμαρτάνοι. ταῦτα διατρήσαντες καὶ νεύροις ἵππων
not — would-err these having-bored-through and with-sinews of-horses
καὶ βοῶν συρράψαντες χρῶνται θώραξιν οὔτε εὐπρεπείᾳ
and of-oxen having-sewn-together they-use as-breastplates neither in-comeliness
τῶν Ἑλληνικῶν ἀποδέουσιν οὔτε ἀσθενεστέροις· καὶ γὰρ
than-the Greek they-fall-short nor weaker and for
συστάδην τυπτόμενοι καὶ βληθέντες ἀνέχονται.
at-close-quarters being-struck and having-been-hit they-hold-out
οἱ δὲ θώρακες οἱ λινοῖ μαχομένοις μὲν οὐχ ὁμοίως 21.7
the and breastplates the linen for-fighting indeed not equally
εἰσὶ χρήσιμοι, διιᾶσι γὰρ καὶ βιαζόμενοι τὸν σίδηρον·
are useful let-through for even being-forced the iron
θηρεύοντας δὲ ὠφελοῦσιν, ἐναποκλῶνται γάρ σφισι καὶ
those-hunting but they-help break-off for in-them both
λεόντων ὀδόντες καὶ παρδάλεων. θώρακας δὲ λινοῦς ἰδεῖν
of-lions teeth and of-leopards breastplates and linen to-see
ἔν τε ἄλλοις ἱεροῖς ἔστιν ἀνακειμένους καὶ ἐν Γρυνείῳ,
in both other sanctuaries it-is dedicated and in Gryneium

ἔνθα Ἀπόλλωνος κάλλιστον ἄλσος δένδρων καὶ ἡμέρων καὶ
where of-Apollo most-beautiful grove of-trees both cultivated and
ὅσα τῶν ἀκάρπων ὀσμῆς παρέχεταί τινα ἢ θέας ἡδονήν.
as-many-as of-the fruitless of-scent offer some or of-sight pleasure

X · THE APPROACH TO THE ACROPOLIS

Below the Acropolis lie Hippolytus' monument and the sanctuaries of Aphrodite Pandemos, Earth Nurse of Youth, and Demeter Chloe. The single entrance passes the Propylaea and Wingless Victory, where Aegeus leapt to his death, and the picture gallery with Diomedes, Orestes, Polyxena, Achilles on Scyros, Odysseus and Nausicaa, Alcibiades, Perseus, and Musaeus. Hermes Propylaeus and the Graces are said to be Socrates' work. The lioness for Leaena, whom Hippias tortured, Diitrephes shot with arrows, Silenus' resting stone, and a sailor's tale of the red-haired Satyrs follow, with the Wooden Horse in bronze, the statues of Epicharinus and Oenobius, and Phormio, whose debts the Athenians paid.

22.1 μετὰ δὲ τὸ ἱερὸν τοῦ Ἀσκληπιοῦ ταύτῃ πρὸς τὴν ἀκρόπολιν
after and the sanctuary — of-Asclepius here toward the acropolis
ἰοῦσι Θέμιδος ναός ἐστι. κέχωσται δὲ πρὸ αὐτοῦ
for-those-going of-Themis temple is is-heaped-up and before it
μνῆμα Ἱππολύτῳ· τοῦ δέ οἱ βίου τὴν τελευτὴν συμβῆναι
monument for-Hippolytus of-the and his life the end to-have-happened
λέγουσιν ἐκ καταρῶν. δῆλα δέ, καὶ ὅστις βαρβάρων
they-say from curses manifest and even whoever of-barbarians
γλῶσσαν ἔμαθεν Ἑλλήνων, ὅ τε ἔρως τῆς Φαίδρας καὶ
tongue has-learned of-Greeks the both love — of-Phaedra and
τῆς τροφοῦ τὸ ἐς τὴν διακονίαν τόλμημα. ἔστι δὲ καὶ
of-the nurse the in the service daring there-is and also
Τροιζηνίοις Ἱππολύτου τάφος· ἔχει δέ σφισιν ὧδε ὁ λόγος.
for-Troezenians of-Hippolytus tomb holds and for-them thus the account

Θησεὺς ὡς ἔμελλεν ἄξεσθαι Φαίδραν, οὐκ ἐθέλων 22.2
Theseus when he-was-about to-be-going-to-marry Phaedra not wishing
εἴ οἱ γένοιντο παῖδες οὔτε ἄρχεσθαι τὸν Ἱππόλυτον
if to-him should-be-born children either to-be-ruled — Hippolytus
οὔτε βασιλεύειν ἀντ᾽ αὐτῶν, πέμπει παρὰ Πιτθέα
or to-be-king instead-of them sends to Pittheus
τραφησόμενον αὐτὸν καὶ βασιλεύσοντα Τροιζῆνος. χρόνῳ
going-to-be-reared him and going-to-be-king of-Troezen in-time
δὲ ὕστερον Πάλλας καὶ οἱ παῖδες ἐπανέστησαν Θησεῖ·
and later Pallas and the sons rose-up against-Theseus
τούτους κτείνας ἐς Τροιζῆνα ἔρχεται καθαρσίων ἕνεκα,
these having-killed to Troezen he-comes of-purification for-the-sake
καὶ Φαίδρα πρώτη ἐνταῦθα εἶδεν Ἱππόλυτον καὶ τὰ
and Phaedra first there saw Hippolytus and the-things
ἐς τὸν θάνατον ἐρασθεῖσα ἐβούλευσε. μυρσίνη δέ ἐστι
toward the death having-fallen-in-love planned myrtle and there-is
Τροιζηνίοις τὰ φύλλα διὰ πάσης ἔχουσα τετρυπημένα·
for-Troezenians the leaves because-of all having pierced
φῦναι δὲ οὐκ ἐξ ἀρχῆς αὐτὴν λέγουσιν, ἀλλὰ τὸ
to-have-grown and not from beginning it they-say but the
ἔργον γεγενῆσθαι τῆς ἐς τὸν ἔρωτα ἄσης καὶ τῆς
work to-have-come-about of-the about the love distress and of-the
περόνης ἣν ἐπὶ ταῖς θριξὶν εἶχεν ἡ Φαίδρα.
brooch which on the hair had — Phaedra
Ἀφροδίτην δὲ τὴν Πάνδημον, ἐπεί τε Ἀθηναίους Θησεὺς 22.3
Aphrodite and the Pandemos when — Athenians Theseus
ἐς μίαν ἤγαγεν ἀπὸ τῶν δήμων πόλιν, αὐτήν τε σέβεσθαι
into one brought from the demes city her both to-worship
καὶ Πειθὼ κατέστησε· τὰ μὲν δὴ παλαιὰ ἀγάλματα
and Persuasion established the indeed indeed old statues
οὐκ ἦν ἐπ᾽ ἐμοῦ, τὰ δὲ ἐπ᾽ ἐμοῦ τεχνιτῶν ἦν οὐ
not were in my-time the but in my-time of-artists were not

τῶν ἀφανεστάτων. ἔστι δὲ καὶ Γῆς Κουροτρόφου καὶ
of-the most-obscure there-is and also of-Earth Nurse-of-Youth and
Δήμητρος ἱερὸν Χλόης· τὰ δὲ ἐς τὰς ἐπωνυμίας
of-Demeter sanctuary Chloe the-things and about the surnames
ἔστιν αὐτῶν διδαχθῆναι τοῖς ἱερεῦσιν ἐλθόντα ἐς λόγους.
it-is of-them to-be-taught from-the priests having-come into words
22.4 ἐς δὲ τὴν ἀκρόπολίν ἐστιν ἔσοδος μία· ἑτέραν δὲ οὐ
to and the acropolis is entrance one another but not
παρέχεται, πᾶσα ἀπότομος οὖσα καὶ τεῖχος ἔχουσα ἐχυρόν.
it-offers all sheer being and wall having strong
τὰ δὲ προπύλαια λίθου λευκοῦ τὴν ὀροφὴν ἔχει καὶ κόσμῳ
the and Propylaea of-stone white the roof has and in-ornament
καὶ μεγέθει τῶν λίθων μέχρι γε καὶ ἐμοῦ προεῖχε. τὰς
and in-size of-the stones until at-least also me was-preeminent the
μὲν οὖν εἰκόνας τῶν ἱππέων οὐκ ἔχω σαφῶς εἰπεῖν, εἴτε
indeed then statues of-the horsemen not I-can clearly to-say whether
οἱ παῖδές εἰσιν οἱ Ξενοφῶντος εἴτε ἄλλως ἐς εὐπρέπειαν
the sons are the of-Xenophon or otherwise for comeliness
πεποιημέναι· τῶν δὲ προπυλαίων ἐν δεξιᾷ Νίκης ἐστὶν
made of-the and Propylaea on right of-Victory is
Ἀπτέρου ναός. ἐντεῦθεν ἡ θάλασσά ἐστι σύνοπτος, καὶ
Wingless temple from-here the sea is in-view and
ταύτῃ ῥίψας Αἰγεὺς ἑαυτὸν ὡς λέγουσιν ἐτελεύτησεν.
here having-thrown Aegeus himself as they-say died
22.5 ἀνήγετο μὲν γὰρ ἡ ναῦς μέλασιν ἱστίοις ἡ τοὺς
put-out indeed for the ship with-black sails the(-one) the
παῖδας φέρουσα ἐς Κρήτην, Θησεὺς δὲ — ἔπλει γὰρ
children carrying to Crete Theseus and he-sailed for
τόλμης τι ἔχων ἐς τὸν Μίνω καλούμενον ταῦρον —
of-daring something having against the of-Minos called bull
πρὸς τὸν πατέρα προεῖπε χρήσεσθαι τοῖς ἱστίοις λευκοῖς,
to the father foretold to-be-going-to-use the sails white

ἢν ὀπίσω πλέῃ τοῦ ταύρου κρατήσας· τούτων λήθην
if back he-sails the bull having-overcome of-these forgetfulness
ἔσχεν Ἀριάδνην ἀφῃρημένος· ἐνταῦθα Αἰγεὺς ὡς εἶδεν
he-had Ariadne having-been-robbed-of there Aegeus when he-saw
ἱστίοις μέλασι τὴν ναῦν κομιζομένην, οἷα τὸν παῖδα
with-sails black the ship being-carried as the son
τεθνάναι δοκῶν, ἀφεὶς αὑτὸν διαφθείρεται· καί οἱ
to-have-died thinking having-thrown himself perishes and to-him
παρὰ Ἀθηναίοις ἐστὶ καλούμενον ἡρῷον Αἰγέως.
among Athenians is called hero-shrine of-Aegeus
— ἔστι δὲ ἐν ἀριστερᾷ τῶν προπυλαίων οἴκημα ἔχον 22.6
there-is and on left of-the Propylaea chamber having
γραφάς· ὁπόσαις δὲ μὴ καθέστηκεν ὁ χρόνος αἴτιος
paintings as-many and not has-become the time cause
ἀφανέσιν εἶναι, Διομήδης ἦν, ὁ μὲν ἐν Λήμνῳ τὸ
obscure to-be Diomedes was the(-one) indeed in Lemnos the
Φιλοκτήτου τόξον, ὁ δὲ τὴν Ἀθηνᾶν ἀφαιρούμενος ἐξ
of-Philoctetes bow the(-other) and — Athena taking-away from
Ἰλίου. ἐνταῦθα ἐν ταῖς γραφαῖς Ὀρέστης ἐστὶν Αἴγισθον
Ilium there in the paintings Orestes is Aegisthus
φονεύων καὶ Πυλάδης τοὺς παῖδας τοὺς Ναυπλίου βοηθοὺς
slaying and Pylades the sons the of-Nauplius helpers
ἐλθόντας Αἰγίσθῳ· τοῦ δὲ Ἀχιλλέως τάφου πλησίον
having-come to-Aegisthus of-the and of-Achilles tomb near
μέλλουσά ἐστι σφάζεσθαι Πολυξένη. Ὁμήρῳ δὲ εὖ μὲν
about is to-be-slaughtered Polyxena by-Homer and well indeed
παρείθη τόδε τὸ ὠμὸν οὕτως ἔργον· εὖ δέ μοι φαίνεται
was-passed-over this the savage thus deed well and to-me he-seems
ποιῆσαι Σκῦρον ὑπὸ Ἀχιλλέως ἁλοῦσαν, οὐδὲν ὁμοίως καὶ
to-have-made Scyros by Achilles captured not alike also
ὅσοι λέγουσιν ὁμοῦ ταῖς παρθένοις Ἀχιλλέα ἔχειν ἐν
those-who say together-with the maidens Achilles to-have in

Σκύρῳ δίαιταν, ἃ δὴ καὶ Πολύγνωτος ἔγραψεν. ἔγραψε
Scyros way-of-life which indeed also Polygnotus painted painted
δὲ καὶ πρὸς τῷ ποταμῷ ταῖς ὁμοῦ Ναυσικᾷ πλυνούσαις
and also by the river to-those with Nausicaa washing
ἐφιστάμενον Ὀδυσσέα κατὰ τὰ αὐτὰ καθὰ δὴ καὶ
standing-by Odysseus by the same just-as indeed also
Ὅμηρος ἐποίησε. γραφαὶ δέ εἰσι καὶ ἄλλαι καὶ Ἀλκιβιάδης,
Homer composed paintings and are also other and Alcibiades
22.7 ἵππων δέ οἱ νίκης τῆς ἐν Νεμέᾳ ἐστὶ σημεῖα ἐν τῇ γραφῇ·
of-horses and his victory of-the at Nemea are signs in the painting
καὶ Περσεύς ἐστιν ἐς Σέριφον κομιζόμενος, Πολυδέκτῃ
and Perseus is to Seriphos being-carried to-Polydectes
φέρων τὴν κεφαλὴν τὴν Μεδούσης. καὶ τὰ μὲν ἐς
bringing the head the of-Medusa and the-things indeed about
Μέδουσαν οὐκ εἰμὶ πρόθυμος ἐν τοῖς Ἀττικοῖς σημῆναι·
Medusa not I-am eager among the Attic-things to-indicate
ἔτι δὲ τῶν γραφῶν παρέντι τὸν παῖδα τὸν τὰς ὑδρίας
still and of-the paintings to-one-having-passed the boy the the water-jars
φέροντα καὶ τὸν παλαιστὴν ὃν Τιμαίνετος ἔγραψεν, ἐστὶ
carrying and the wrestler whom Timaenetus painted is
Μουσαῖος. ἐγὼ δὲ ἔπη μὲν ἐπελεξάμην, ἐν οἷς ἐστι
Musaeus I and verses indeed read in which is
πέτεσθαι Μουσαῖον ὑπὸ Βορέου δῶρον, δοκεῖν δέ μοι
to-fly Musaeus by Boreas gift to-seem and to-me
πεποίηκεν αὐτὰ Ὀνομάκριτος καὶ ἔστιν οὐδὲν Μουσαίου
composed them Onomacritus and is nothing of-Musaeus
βεβαίως ὅτι μὴ μόνον ἐς Δήμητρα ὕμνος Λυκομίδαις.
certainly except — only to Demeter hymn for-Lycomidae
22.8 κατὰ δὲ τὴν ἔσοδον αὐτὴν ἤδη τὴν ἐς ἀκρόπολιν Ἑρμῆν
at and the entrance itself already the to acropolis Hermes
ὃν Προπύλαιον ὀνομάζουσι καὶ Χάριτας Σωκράτην
whom Propylaeus they-name and Graces Socrates

ποιῆσαι τὸν Σωφρονίσκου λέγουσιν, ᾧ σοφῷ γενέσθαι
to-have-made the son-of-Sophroniscus they-say for-whom wise to-have-been
μάλιστα ἀνθρώπων ἐστὶν ἡ Πυθία μάρτυς, ὃ μηδὲ
most of-men is the Pythia witness which not-even
Ἀνάχαρσιν ἐθέλοντα ὅμως καὶ δι᾽ αὐτὸ ἐς Δελφοὺς
Anacharsis wishing nevertheless also because-of it to Delphi
ἀφικόμενον προσεῖπεν.
having-come she-called

Ἕλληνες δὲ ἄλλα τε λέγουσι καὶ ἄνδρας ἑπτὰ γενέσθαι 23.1
Greeks and other-things both say and men seven to-have-been
σοφούς. τούτων καὶ τὸν Λέσβιον τύραννον καὶ Περίανδρον
wise of-these both the Lesbian tyrant and Periander
εἶναί φασι τὸν Κυψέλου· καίτοι Περιάνδρου Πεισίστρατος
to-be they-say the son-of-Cypselus and-yet than-Periander Pisistratus
καὶ ὁ παῖς Ἱππίας φιλάνθρωποι μᾶλλον καὶ σοφώτεροι τά
and the son Hippias humane more and wiser in-the
τε πολεμικὰ ἦσαν καὶ ὅσα ἦκεν ἐς κόσμον τῶν πολιτῶν,
both warlike-things were and as-many-as came to ordering of-the citizens
ἐς ὃ διὰ τὸν Ἱππάρχου θάνατον Ἱππίας ἄλλα τε
until — because-of the of-Hipparchus death Hippias other-things both
ἐχρήσατο θυμῷ καὶ ἐς γυναῖκα ὄνομα Λέαιναν.
used with-anger and toward woman by-name Leaena

ταύτην γάρ, ἐπεί τε ἀπέθανεν Ἵππαρχος, — λέγω δὲ 23.2
this-one for when — died Hipparchus I-tell and
οὐκ ἐς συγγραφὴν πρότερον ἥκοντα, πιστὰ δὲ ἄλλως
not to history before having-come trustworthy but otherwise
Ἀθηναίων τοῖς πολλοῖς — Ἱππίας εἶχεν ἐν αἰκίᾳ ἐς
of-Athenians to-the many Hippias held in torture until
ὃ διέφθειρεν, οἷα ἑταίραν Ἀριστογείτονος ἐπιστάμενος
— he-destroyed-her as mistress of-Aristogeiton knowing
οὖσαν καὶ τὸ βούλευμα οὐδαμῶς ἀγνοῆσαι δοξάζων·
being and the plan in-no-way to-have-been-ignorant-of supposing

ἀντὶ δὲ τούτων, ἐπεὶ τυραννίδος ἐπαύθησαν οἱ
in-return-for and these when from-tyranny were-stopped the
Πεισιστρατίδαι, χαλκῆ λέαινα Ἀθηναίοις ἐστὶν ἐς μνήμην
Pisistratidae of-bronze lioness for-Athenians is for memory
τῆς γυναικός, παρὰ δὲ αὐτὴν ἄγαλμα Ἀφροδίτης, ὃ
of-the woman beside and her statue of-Aphrodite which
Καλλίου τέ φασιν ἀνάθημα εἶναι καὶ ἔργον Καλάμιδος.
of-Callias both they-say offering to-be and work of-Calamis
23.3 πλησίον δέ ἐστι Διιτρέφους χαλκοῦς ἀνδριὰς ὀιστοῖς
near and is of-Diitrephes of-bronze statue with-arrows
βεβλημένος. οὗτος ὁ Διιτρέφης ἄλλα τε ἔπραξεν ὁπόσα
struck this — Diitrephes other-things both did as-many-as
λέγουσιν Ἀθηναῖοι καὶ Θρᾷκας μισθωτοὺς ἀφικομένους
tell Athenians and Thracians mercenaries having-arrived
ὕστερον ἢ Δημοσθένης ἐς Συρακούσας ἐξέπλευσε, τούτους
later than Demosthenes to Syracuse sailed-out these
ὡς ὑστέρησαν ὁ Διιτρέφης ἀπῆγεν ὀπίσω. καὶ δὴ
when they-came-too-late — Diitrephes led-away back and indeed
κατὰ τὸν Χαλκιδικὸν ἔσχεν Εὔριπον, ἔνθα Βοιωτῶν ἐν
at the Chalcidian he-put-in Euripus where of-Boeotians in
μεσογαίᾳ πόλις Μυκαλησσὸς ἦν· ταύτην ἐπαναβὰς ἐκ
interior city Mycalessus was this having-gone-up from
θαλάσσης ὁ Διιτρέφης εἶλε. Μυκαλησσίων δὲ οὐ μόνον
sea — Diitrephes took of-Mycalessians and not only
τὸ μάχιμον οἱ Θρᾷκες ἀλλὰ καὶ γυναῖκας ἐφόνευσαν καὶ
the fighting-part the Thracians but also women killed and
παῖδας. μαρτυρεῖ δέ μοι· Βοιωτῶν γὰρ ὅσους ἀνέστησαν
children bears-witness and for-me of-Boeotians for as-many-as uprooted
Θηβαῖοι, ᾠκοῦντο αἱ πόλεις ἐπ᾽ ἐμοῦ, διαφυγόντων ὑπὸ
Thebans were-inhabited the cities in my-time having-escaped at
τὴν ἅλωσιν τῶν ἀνθρώπων· εἰ δὲ καὶ Μυκαλησσίοις οἱ
the capture the men if and also of-Mycalessians the

βάρβαροι μὴ πᾶσιν ἀποκτείναντες ἐπεξῆλθον, ὕστερον ἂν
barbarians not all having-killed had-gone-through later —
τὴν πόλιν ἀπέλαβον οἱ λειφθέντες.
the city would-have-recovered those left
τοσοῦτον μὲν παρέστη μοι θαῦμα ἐς τὴν εἰκόνα τοῦ 23.4
so-much indeed occurred to-me wonder at the statue —
Διιτρέφους, ὅτι ὀιστοῖς ἐβέβλητο, Ἕλλησιν ὅτι μὴ Κρησὶν
of-Diitrephes that with-arrows he-had-been-struck for-Greeks except — Cretans
οὐκ ἐπιχώριον ὂν τοξεύειν· Λοκροὺς γὰρ τοὺς Ὀπουντίους
not native being to-shoot-the-bow Locrians for the Opuntian
ὁπλιτεύοντας ἤδη κατὰ τὰ Μηδικὰ ἴσμεν, οὓς Ὅμηρος
serving-as-hoplites already in the Median-wars we-know whom Homer
ἐποίησεν ὡς φερόμενοι τόξα καὶ σφενδόνας ἐς Ἴλιον ἔλθοιεν·
made as carrying bows and slings to Ilium they-came
οὐ μὴν οὐδὲ Μαλιεῦσι παρέμεινε μελέτη τῶν τόξων, δοκῶ
not indeed not-even for-Malians remained practice of-the bows I-think
δὲ οὔτε πρότερον ἐπίστασθαι σφᾶς πρὶν ἢ Φιλοκτήτην,
and neither before to-understand them before than Philoctetes
παύσασθαί τε οὐ διὰ μακροῦ· τοῦ δὲ Διιτρέφους πλησίον —
to-have-ceased both not after long — and of-Diitrephes near
τὰς γὰρ εἰκόνας τὰς ἀφανεστέρας γράφειν οὐκ ἐθέλω —
the for statues the more-obscure to-write not I-wish
θεῶν ἀγάλματά ἐστιν Ὑγείας τε, ἣν Ἀσκληπιοῦ παῖδα
of-gods statues are of-Hygieia both whom of-Asclepius daughter
εἶναι λέγουσι, καὶ Ἀθηνᾶς ἐπίκλησιν καὶ ταύτης Ὑγείας.
to-be they-say and of-Athena by-surname also of-this Hygieia
ἔστι δὲ λίθος οὐ μέγας, ἀλλ' ὅσον καθίζεσθαι μικρὸν 23.5
there-is and stone not large but as-much-as to-sit-on small
ἄνδρα· ἐπὶ τούτῳ λέγουσιν, ἡνίκα Διόνυσος ἦλθεν ἐς
man on this they-say when Dionysus came into
τὴν γῆν, ἀναπαύσασθαι τὸν Σιληνόν. τοὺς γὰρ ἡλικίᾳ
the land to-have-rested — Silenus those for in-age

τῶν Σατύρων προήκοντας ὀνομάζουσι Σιληνούς· περὶ δὲ
of-the Satyrs advanced they-name Sileni about and
Σατύρων, οἵτινές εἰσιν, ἑτέρου πλέον ἐθέλων ἐπίστασθαι
Satyrs who they-are than-another more wishing to-know
πολλοῖς αὐτῶν τούτων ἕνεκα ἐς λόγους ἦλθον. ἔφη
with-many of-them of-these for-the-sake into words I-came said
δὲ Εὔφημος Κὰρ ἀνὴρ πλέων ἐς Ἰταλίαν ἁμαρτεῖν ὑπὸ
and Euphemus Carian man sailing to Italy to-miss by
ἀνέμων τοῦ πλοῦ καὶ ἐς τὴν ἔξω θάλασσαν, ἐς ἣν
winds of-the course and into the outer sea into which
οὐκέτι πλέουσιν, ἐξενεχθῆναι. νήσους δὲ εἶναι μὲν ἔλεγεν
no-longer they-sail to-be-carried-out islands and to-be indeed he-said
ἐρήμους πολλάς, ἐν δὲ ἄλλαις οἰκεῖν ἄνδρας ἀγρίους·
desolate many in and others to-dwell men wild
23.6 ταύταις δὲ οὐκ ἐθέλειν νήσοις προσίσχειν τοὺς ναύτας
at-these and not to-wish islands to-put-in the sailors
οἷα πρότερόν τε προσσχόντας καὶ τῶν ἐνοικούντων οὐκ
as before both having-put-in and of-the inhabitants not
ἀπείρως ἔχοντας, βιασθῆναι δ' οὖν καὶ τότε. ταύτας
inexperienced being to-have-been-forced but anyway also then these
καλεῖσθαι μὲν ὑπὸ τῶν ναυτῶν Σατυρίδας, εἶναι δὲ τοὺς
to-be-called indeed by the sailors Satyrides to-be and the
ἐνοικοῦντας καπυροὺς καὶ ἵππων οὐ πολὺ μείους ἔχειν ἐπὶ
inhabitants red-haired and than-horses not much smaller to-have on
τοῖς ἰσχίοις οὐράς. τούτους, ὡς ἤσθοντο, καταδραμόντας
the hips tails these when they-perceived having-run-down
ἐπὶ τὴν ναῦν φωνὴν μὲν οὐδεμίαν ἱέναι, ταῖς δὲ γυναιξὶν
to the ship voice indeed no to-utter the and women
ἐπιχειρεῖν ταῖς ἐν τῇ νηί· τέλος δὲ δείσαντας τοὺς ναύτας
to-attack the in the ship at-last and having-feared the sailors
βάρβαρον γυναῖκα ἐκβαλεῖν ἐς τὴν νῆσον· ἐς ταύτην
barbarian woman to-cast-out onto the island against her

οὖν ὑβρίζειν τοὺς Σατύρους οὐ μόνον ᾗ καθέστηκεν,
then to-outrage the Satyrs not only where is-established
ἀλλὰ καὶ τὸ πᾶν ὁμοίως σῶμα.
but also the whole equally body
καὶ ἄλλα ἐν τῇ Ἀθηναίων ἀκροπόλει θεασάμενος οἶδα, 23.7
also other-things on the of-Athenians acropolis having-seen I-know
Λυκίου τοῦ Μύρωνος χαλκοῦν παῖδα, ὃς τὸ περιρραντήριον
of-Lycius the son-of-Myron of-bronze boy who the sprinkling-vessel
ἔχει, καὶ Μύρωνος Περσέα τὸ ἐς Μέδουσαν ἔργον
holds and of-Myron Perseus the against Medusa deed
εἰργασμένον. καὶ Ἀρτέμιδος ἱερόν ἐστι Βραυρωνίας,
having-wrought and of-Artemis sanctuary is Brauronian
Πραξιτέλους μὲν τέχνη τὸ ἄγαλμα, τῇ θεῷ δέ ἐστιν
of-Praxiteles indeed art the statue for-the goddess and is
ἀπὸ Βραυρῶνος δήμου τὸ ὄνομα καὶ τὸ ἀρχαῖον ξόανόν
from Brauron deme the name and the ancient wooden-image
ἐστιν ἐν Βραυρῶνι, Ἄρτεμις ὡς λέγουσιν ἡ Ταυρική.
is in Brauron Artemis as they-say the Tauric
ἵππος δὲ ὁ καλούμενος Δούριος ἀνάκειται χαλκοῦς. καὶ 23.8
horse and the called Wooden is-dedicated of-bronze and
ὅτι μὲν τὸ ποίημα τὸ Ἐπειοῦ μηχάνημα ἦν ἐς διάλυσιν
that indeed the work the of-Epeius device was for breaching
τοῦ τείχους, οἶδεν ὅστις μὴ πᾶσαν ἐπιφέρει τοῖς Φρυξὶν
of-the wall knows whoever not all attributes to-the Phrygians
εὐήθειαν· λέγεται δὲ ἔς τε ἐκεῖνον τὸν ἵππον ὡς τῶν
simplicity is-said and about both that the horse that of-the
Ἑλλήνων ἔνδον ἔχοι τοὺς ἀρίστους, καὶ δὴ καὶ τοῦ
Greeks within it-had the best and indeed also of-the
χαλκοῦ τὸ σχῆμά ἐστι κατὰ ταῦτα· καὶ Μενεσθεὺς
bronze the shape is in-accordance-with this and Menestheus

καὶ Τεῦκρος ὑπερκύπτουσιν ἐξ αὐτοῦ, προσέτι δὲ καὶ
and Teucer peep-out from it besides and also
οἱ παῖδες οἱ Θησέως.
the sons the of-Theseus

23.9 ἀνδριάντων δὲ ὅσοι μετὰ τὸν ἵππον ἑστήκασιν
of-statues and as-many-as after the horse stand
Ἐπιχαρίνου μὲν ὁπλιτοδρομεῖν ἀσκήσαντος τὴν εἰκόνα
of-Epicharinus indeed to-run-in-armor having-trained the statue
ἐποίησε Κριτίας, Οἰνοβίῳ δὲ ἔργον ἐστὶν ἐς Θουκυδίδην
made Critius for-Oenobius and deed is toward Thucydides
τὸν Ὀλόρου χρηστόν· ψήφισμα γὰρ ἐνίκησεν Οἰνόβιος
the son-of-Olorus good decree for carried Oenobius
κατελθεῖν ἐς Ἀθήνας Θουκυδίδην, καί οἱ δολοφονηθέντι
to-return to Athens Thucydides and to-him having-been-murdered
ὡς κατῄει μνῆμά ἐστιν οὐ πόρρω πυλῶν Μελιτίδων.
when he-was-returning monument is not far from-the-gates Melitid

23.10 τὰ δὲ ἐς Ἑρμόλυκον τὸν παγκρατιαστὴν καὶ
the-things and about Hermolycus the pancratiast and
Φορμίωνα τὸν Ἀσωπίχου γραψάντων ἑτέρων παρίημι· ἐς
Phormio the son-of-Asopichus having-written others I-pass-over about
δὲ Φορμίωνα τοσόνδε ἔχω πλέον γράψαι. Φορμίωνι γὰρ
and Phormio so-much I-have more to-write to-Phormio for
τοῖς ἐπιεικέσιν Ἀθηναίων ὄντι ὁμοίῳ καὶ ἐς προγόνων
to-the respectable of-Athenians being like and in of-ancestors
δόξαν οὐκ ἀφανεῖ συνέβαινεν ὀφείλειν χρέα· ἀναχωρήσας
repute not obscure happened to-owe debts having-withdrawn
οὖν ἐς τὸν Παιανιέα δῆμον ἐνταῦθα εἶχε δίαιταν, ἐς ὃ
then to the Paeanian deme there had way-of-life until —
ναύαρχον αὐτὸν Ἀθηναίων αἱρουμένων ἐκπλεύσεσθαι οὐκ
admiral him Athenians choosing to-be-going-to-sail-out not
ἔφασκεν· ὀφείλειν τε γὰρ καί οἱ, πρὶν ἂν ἐκτίσῃ, πρὸς
he-said to-owe both for and to-him before — he-pays to

τοὺς στρατιώτας οὐκ εἶναι παρέχεσθαι φρόνημα. οὕτως
the soldiers not to-be to-display spirit thus
Ἀθηναῖοι — πάντως γὰρ ἐβούλοντο ἄρχειν Φορμίωνα —
Athenians altogether for they-wished to-command Phormio
τὰ χρέα ὁπόσοις ὤφειλε διαλύουσιν.
the debts to-as-many-as he-owed discharge

XI · THE PARTHENON

Athena strikes Marsyas, Theseus fights the bull of Minos, Phrixus sacrifices the ram, and Earth begs Zeus for rain; Procne, the olive, and Poseidon's wave stand nearby, with Zeus Polieus, whose ox-slayer flees and whose axe is tried. In the Parthenon the pediments show Athena's birth and her strife with Poseidon; the ivory and gold statue wears a sphinx and griffins on her helmet, holds a Victory, and has Pandora's birth on her pedestal. Apollo Parnopius, Pericles, Xanthippus, and Anacreon follow, and Attalus' figures of Giants, Amazons, Marathon, and the Galatians. Olympiodorus' statue leads to the history after Chaeronea: the war Leosthenes led, the Macedonian garrison, the tyrannies of Demetrius son of Phanostratus and of Lachares, and Demetrius son of Antigonus, who freed Athens but walled and held the Museum.

ἐνταῦθα Ἀθηνᾶ πεποίηται τὸν Σιληνὸν Μαρσύαν παίουσα, 24.1
there Athena is-made — Silenus Marsyas striking
ὅτι δὴ τοὺς αὐλοὺς ἀνέλοιτο, ἐρρῖφθαι σφᾶς
because indeed the flutes he-took-up to-have-been-thrown-away them
τῆς θεοῦ βουλομένης. — τούτων πέραν, ὧν εἴρηκα,
the goddess wishing of-these beyond which I-have-told
ἐστὶν ἡ λεγομένη Θησέως μάχη πρὸς τὸν ταῦρον τὸν
is the so-called of-Theseus battle against the bull the
Μίνω καλούμενον, εἴτε ἀνὴρ εἴτε θηρίον ἦν ὁποῖον
of-Minos called whether man or beast it-was of-what-kind

κεκράτηκεν ὁ λόγος· τέρατα γὰρ πολλῷ καὶ τοῦδε
has-prevailed the account monsters for by-much even than-this
θαυμασιώτερα καὶ καθ' ἡμᾶς ἔτικτον γυναῖκες.
more-wondrous also in our-time bore women

24.2 κεῖται δὲ καὶ Φρίξος ὁ Ἀθάμαντος ἐξενηνεγμένος ἐς
lies and also Phrixus the son-of-Athamas having-been-carried to
Κόλχους ὑπὸ τοῦ κριοῦ· θύσας δὲ αὐτὸν ὅτῳ δὴ
Colchians by the ram having-sacrificed and it to-what indeed
θεῷ, ὡς δὲ εἰκάσαι τῷ Λαφυστίῳ καλουμένῳ παρὰ
god as and to-conjecture to-the Laphystius called among
Ὀρχομενίοις, τοὺς μηροὺς κατὰ νόμον ἐκτεμὼν τὸν
Orchomenians the thighs according-to custom having-cut-out the
Ἑλλήνων ἐς αὐτοὺς καιομένους ὁρᾷ. κεῖνται δὲ ἑξῆς
of-Greeks at them burning looks lie and in-order
ἄλλαι τε εἰκόνες καὶ Ἡρακλέους· ἄγχει δέ, ὡς λόγος ἔχει,
other both statues and of-Heracles strangles and as story has
τοὺς δράκοντας. Ἀθηνᾶ τέ ἐστιν ἀνιοῦσα ἐκ τῆς κεφαλῆς
the serpents Athena both is coming-up from the head
τοῦ Διός. ἔστι δὲ καὶ ταῦρος ἀνάθημα τῆς βουλῆς τῆς
— of-Zeus there-is and also bull offering of-the council of-the
ἐν Ἀρείῳ πάγῳ, ἐφ' ὅτῳ δὴ ἀνέθηκεν ἡ βουλή·
on Ares' hill for what indeed dedicated the council

24.3 πολλὰ δ' ἄν τις ἐθέλων εἰκάζοι. λέλεκται δέ μοι
many-things and — one wishing might-conjecture has-been-said and by-me
καὶ πρότερον ὡς Ἀθηναίοις περισσότερόν τι ἢ τοῖς
also before that for-Athenians more something than for-the
ἄλλοις ἐς τὰ θεῖά ἐστι σπουδῆς· πρῶτοι μὲν γὰρ
others toward the divine-things is of-zeal first indeed for
Ἀθηνᾶν ἐπωνόμασαν Ἐργάνην, πρῶτοι δ' ἀκώλους Ἑρμᾶς
Athena they-surnamed Ergane first and limbless Hermae
ἀνέθεσαν, ὁμοῦ δέ σφισιν ἐν τῷ ναῷ †σπουδαίων δαίμων
dedicated together and with-them in the temple of-the-zealous spirit

ἐστίν. ὅστις δὲ τὰ σὺν τέχνῃ πεποιημένα ἐπίπροσθε
is whoever and the-things with art made before
τίθεται τῶν ἐς ἀρχαιότητα ἡκόντων, καὶ τάδε ἔστιν
puts than-those to antiquity having-come also these it-is
οἱ θεάσασθαι. κράνος ἐστὶν ἐπικείμενος ἀνὴρ Κλεοίτου,
for-him to-see helmet is wearing man of-Cleoetas
καί οἱ τοὺς ὄνυχας ἀργυροῦς ἐνεποίησεν ὁ Κλεοίτας·
and to-him the nails silver put-in — Cleoetas
ἔστι δὲ καὶ Γῆς ἄγαλμα ἱκετευούσης ὗσαί οἱ τὸν
there-is and also of-Earth statue beseeching to-rain for-her —
Δία, εἴτε αὐτοῖς ὄμβρου δεῆσαν Ἀθηναίοις εἴτε
Zeus whether for-themselves of-rain it-having-been-needful Athenians or
καὶ τοῖς πᾶσιν Ἕλλησι συμβὰς αὐχμός. ἐνταῦθα καὶ
also for-the all Greeks having-befallen drought there also
Τιμόθεος ὁ Κόνωνος καὶ αὐτὸς κεῖται Κόνων· Πρόκνην
Timotheus the son-of-Conon and himself lies Conon Procne
δὲ τὰ ἐς τὸν παῖδα βεβουλευμένην αὐτήν τε καὶ
and the-things toward the son having-planned herself both and
τὸν Ἴτυν ἀνέθηκεν Ἀλκαμένης. πεποίηται δὲ καὶ τὸ
— Itys dedicated Alcamenes is-made and also the
φυτὸν τῆς ἐλαίας Ἀθηνᾶ καὶ κῦμα ἀναφαίνων Ποσειδῶν·
plant of-the olive Athena and wave showing-forth Poseidon
καὶ Διός ἐστιν ἄγαλμα τό τε Λεωχάρους καὶ ὁ 24.4
and of-Zeus is statue the both of-Leochares and the(-one)
ὀνομαζόμενος Πολιεύς, ᾧ τὰ καθεστηκότα ἐς τὴν
named Polieus to-whom the-things established for the
θυσίαν γράφων τὴν ἐπ᾽ αὐτοῖς λεγομένην αἰτίαν οὐ
sacrifice writing the for them told cause not
γράφω. τοῦ Διὸς τοῦ Πολιέως κριθὰς καταθέντες ἐπὶ τὸν
I-write — of-Zeus the Polieus barley having-put-down on the
βωμὸν μεμιγμένας πυροῖς οὐδεμίαν ἔχουσι φυλακήν· ὁ
altar mixed with-wheat no they-have guard the

βοῦς δέ, ὃν ἐς τὴν θυσίαν ἑτοιμάσαντες φυλάσσουσιν,
ox and which for the sacrifice having-prepared they-guard
ἅπτεται τῶν σπερμάτων φοιτῶν ἐπὶ τὸν βωμόν. καλοῦσι
touches the seeds going to the altar they-call
δέ τινα τῶν ἱερέων βουφόνον, ὃς κτείνας τὸν βοῦν
and one of-the priests ox-slayer who having-killed the ox
καὶ ταύτῃ τὸν πέλεκυν ῥίψας — οὕτω γάρ ἐστίν οἱ
and there the axe having-thrown thus for is for-him
νόμος — οἴχεται φεύγων· οἱ δὲ ἅτε τὸν ἄνδρα ὃς ἔδρασε
custom goes fleeing they and as the man who did
τὸ ἔργον οὐκ εἰδότες, ἐς δίκην ὑπάγουσι τὸν πέλεκυν.
the deed not knowing to trial bring the axe
ταῦτα μὲν τρόπον τὸν εἰρημένον δρῶσιν· ἐς δὲ τὸν
these-things indeed in-manner the said they-do into and the
ναὸν ὃν Παρθενῶνα ὀνομάζουσιν, ἐς τοῦτον ἐσιοῦσιν
temple which Parthenon they-name into this for-those-entering
24.5 ὁπόσα ἐν τοῖς καλουμένοις ἀετοῖς κεῖται, πάντα ἐς τὴν
as-many-as in the called pediments lie all to the
Ἀθηνᾶς ἔχει γένεσιν, τὰ δὲ ὄπισθεν ἡ Ποσειδῶνος πρὸς
of-Athena has birth the-things and behind the of-Poseidon against
Ἀθηνᾶν ἐστιν ἔρις ὑπὲρ τῆς γῆς· αὐτὸ δὲ ἔκ τε ἐλέφαντος τὸ
Athena is strife about the land itself and of both ivory the
ἄγαλμα καὶ χρυσοῦ πεποίηται. μέσῳ μὲν οὖν ἐπίκειταί οἱ
statue and gold is-made in-middle indeed then lies-on its
τῷ κράνει Σφιγγὸς εἰκών — ἃ δὲ ἐς τὴν Σφίγγα λέγεται,
the helmet of-Sphinx likeness what but about the Sphinx is-said
γράψω προελθόντος ἐς τὰ Βοιώτιά μοι τοῦ λόγου—,
I-will-write having-advanced to the Boeotian-matters for-me the account
καθ' ἑκάτερον δὲ τοῦ κράνους γρῦπές εἰσιν ἐπειργασμένοι.
on each-side and of-the helmet griffins are wrought-on

τούτους τοὺς γρῦπας ἐν τοῖς ἔπεσιν Ἀριστέας ὁ 24.6
these the griffins in the verses Aristeas the
Προκοννήσιος μάχεσθαι περὶ τοῦ χρυσοῦ φησιν Ἀριμασποῖς
Proconnesian to-fight for the gold says with-Arimaspi
τοῖς ὑπὲρ Ἰσσηδόνων· τὸν δὲ χρυσόν, ὃν φυλάσσουσιν
the(-ones) beyond Issedones the and gold which guard
οἱ γρῦπες, ἀνιέναι τὴν γῆν· εἶναι δὲ Ἀριμασποὺς μὲν
the griffins to-send-up the earth to-be and Arimaspi indeed
ἄνδρας μονοφθάλμους πάντας ἐκ γενετῆς, γρῦπας δὲ
men one-eyed all from birth griffins and
θηρία λέουσιν εἰκασμένα, πτερὰ δὲ ἔχειν καὶ στόμα
beasts to-lions likened wings and to-have and beak
ἀετοῦ. καὶ γρυπῶν μὲν πέρι τοσαῦτα εἰρήσθω·
of-eagle and griffins indeed about so-much let-it-have-been-said
τὸ δὲ ἄγαλμα τῆς Ἀθηνᾶς ὀρθόν ἐστιν ἐν χιτῶνι ποδήρει 24.7
the and statue — of-Athena upright is in tunic reaching-the-feet
καί οἱ κατὰ τὸ στέρνον ἡ κεφαλὴ Μεδούσης ἐλέφαντός
and on-her on the breast the head of-Medusa of-ivory
ἐστιν ἐμπεποιημένη· καὶ Νίκην τε ὅσον τεσσάρων πηχῶν,
is inwrought and Victory both about of-four cubits
ἐν δὲ τῇ χειρὶ δόρυ ἔχει, καί οἱ πρὸς τοῖς ποσὶν ἀσπίς
in and the hand spear she-holds and her at the feet shield
τε κεῖται καὶ πλησίον τοῦ δόρατος δράκων ἐστίν· εἴη δ᾽
both lies and near the spear serpent is would-be and
ἂν Ἐριχθόνιος οὗτος ὁ δράκων. ἔστι δὲ τῷ βάθρῳ τοῦ
— Erichthonius this the serpent there-is and on-the pedestal of-the
ἀγάλματος ἐπειργασμένη Πανδώρας γένεσις. πεποίηται
statue wrought-on of-Pandora birth has-been-composed
δὲ Ἡσιόδῳ τε καὶ ἄλλοις ὡς ἡ Πανδώρα γένοιτο
and by-Hesiod both and others how — Pandora came-into-being
αὕτη γυνὴ πρώτη· πρὶν δὲ ἢ γενέσθαι Πανδώραν
this woman first before and than to-come-into-being Pandora

οὐκ ἦν πω γυναικῶν γένος. ἐνταῦθα εἰκόνα ἰδὼν
not was yet of-women race there statue having-seen
οἶδα Ἀδριανοῦ βασιλέως μόνου, καὶ κατὰ τὴν ἔσοδον
I-know of-Hadrian emperor alone and at the entrance
Ἰφικράτους ἀποδειξαμένου πολλά τε καὶ θαυμαστὰ ἔργα.
of-Iphicrates having-displayed many both and wondrous deeds
24.8 τοῦ ναοῦ δέ ἐστι πέραν Ἀπόλλων χαλκοῦς, καὶ τὸ ἄγαλμα
of-the temple and is beyond Apollo of-bronze and the statue
λέγουσι Φειδίαν ποιῆσαι· Παρνόπιον δὲ καλοῦσιν, ὅτι
they-say Phidias to-have-made Parnopius and they-call because
σφίσι παρνόπων βλαπτόντων τὴν γῆν ἀποτρέψειν ὁ
for-them locusts damaging the land to-be-going-to-turn-away the
θεὸς εἶπεν ἐκ τῆς χώρας. καὶ ὅτι μὲν ἀπέτρεψεν ἴσασι,
god said from the country and that indeed he-turned-away they-know
τρόπῳ δὲ οὐ λέγουσι ποίῳ. τρὶς δὲ αὐτὸς ἤδη πάρνοπας
in-manner but not they-say what thrice and myself already locusts
ἐκ Σιπύλου τοῦ ὄρους οὐ κατὰ ταὐτὰ οἶδα φθαρέντας,
from Sipylus the mountain not by the-same I-know destroyed
ἀλλὰ τοὺς μὲν ἐξέωσε βίαιος ἐμπεσὼν ἄνεμος, τοὺς
but the(-ones) indeed drove-out violent having-fallen-on wind the(-others)
δὲ ὕσαντος τοῦ θεοῦ καῦμα ἰσχυρὸν καθεῖλεν ἐπιλαβόν,
and having-rained the god heat strong destroyed having-overtaken
οἱ δὲ αἰφνιδίῳ ῥίγει καταληφθέντες ἀπώλοντο.
the(-others) and by-sudden frost caught perished
25.1 τοιαῦτα μὲν αὐτοῖς συμβαίνοντα εἶδον· ἔστι δὲ ἐν τῇ
such-things indeed to-them happening I-saw there-is and in the
Ἀθηναίων ἀκροπόλει καὶ Περικλῆς ὁ Ξανθίππου καὶ
of-Athenians acropolis both Pericles the son-of-Xanthippus and
αὐτὸς Ξάνθιππος, ὃς ἐναυμάχησεν ἐπὶ Μυκάλῃ Μήδοις.
himself Xanthippus who fought-at-sea at Mycale against-Medes
ἀλλ' ὁ μὲν Περικλέους ἀνδριὰς ἑτέρωθι ἀνάκειται, τοῦ
but the indeed of-Pericles statue elsewhere is-dedicated —

δὲ Ξανθίππου πλησίον ἕστηκεν Ἀνακρέων ὁ Τήιος,
and of-Xanthippus near stands Anacreon the Teian
πρῶτος μετὰ Σαπφὼ τὴν Λεσβίαν τὰ πολλὰ ὧν
first after Sappho the Lesbian the most of-what
ἔγραψεν ἐρωτικὰ ποιήσας· καί οἱ τὸ σχῆμά ἐστιν οἷον
he-wrote erotic having-made and to-him the pose is such-as
ᾄδοντος ἂν ἐν μέθῃ γένοιτο ἀνθρώπου. γυναῖκας δὲ
of-singing — in drunkenness would-be man women and
πλησίον Δεινομένης Ἰὼ τὴν Ἰνάχου καὶ Καλλιστὼ
near Deinomenes Io the daughter-of-Inachus and Callisto
τὴν Λυκάονος πεποίηκεν, αἷς ἀμφοτέραις ἐστὶν ἐς
the daughter-of-Lycaon has-made for-whom both are in
ἅπαν ὅμοια διηγήματα ἔρως Διὸς καὶ Ἥρας ὀργὴ καὶ
all alike stories love of-Zeus and of-Hera anger and
ἀλλαγὴ τῇ μὲν ἐς βοῦν, Καλλιστοῖ δὲ ἐς ἄρκτον.
change for-the(-one) indeed into cow for-Callisto and into bear
πρὸς δὲ τῷ τείχει τῷ Νοτίῳ γιγάντων, οἳ περὶ Θρᾴκην 25.2
by and the wall the Southern of-giants who about Thrace
ποτὲ καὶ τὸν ἰσθμὸν τῆς Παλλήνης ᾤκησαν, τούτων τὸν
once and the isthmus — of-Pallene dwelt of-these the
λεγόμενον πόλεμον καὶ μάχην πρὸς Ἀμαζόνας Ἀθηναίων
told war and battle against Amazons of-Athenians
καὶ τὸ Μαραθῶνι πρὸς Μήδους ἔργον καὶ Γαλατῶν τὴν ἐν
and the at-Marathon against Medes deed and of-Galatians the in
Μυσίᾳ φθορὰν ἀνέθηκεν Ἄτταλος, ὅσον τε δύο πηχῶν
Mysia destruction dedicated Attalus as-much-as both two cubits
ἕκαστον. ἕστηκε δὲ καὶ Ὀλυμπιόδωρος, μεγέθει τε ὢν
each stands and also Olympiodorus for-greatness both of-what
ἔπραξε λαβὼν δόξαν καὶ οὐχ ἥκιστα τῷ καιρῷ, φρόνημα
he-did having-got fame and not least to-the occasion spirit

ἐν ἀνθρώποις παρασχόμενος συνεχῶς ἐπταικόσι καὶ δι᾽
in men having-offered continually having-stumbled and because-of
αὐτὸ οὐδὲ ἓν χρηστὸν οὐδὲ ἐς τὰ μέλλοντα ἐλπίζουσι.
it not-even one good not-even for the future hoping
25.3 τὸ γὰρ ἀτύχημα τὸ ἐν Χαιρωνείᾳ ἅπασι τοῖς Ἕλλησιν ἦρξε
the for misfortune the at Chaeronea for-all the Greeks began
κακοῦ καὶ οὐχ ἥκιστα δούλους ἐποίησε τοὺς ὑπεριδόντας καὶ
of-evil and not least slaves made those having-disregarded and
ὅσοι μετὰ Μακεδόνων ἐτάχθησαν. τὰς μὲν δὴ πολλὰς
as-many-as with Macedonians were-ranged the indeed indeed most
Φίλιππος τῶν πόλεων εἷλεν, Ἀθηναίοις δὲ λόγῳ συνθέμενος
Philip of-the cities took with-Athenians and in-word having-made-terms
ἔργῳ σφᾶς μάλιστα ἐκάκωσε, νήσους τε ἀφελόμενος καὶ
in-deed them most ill-treated islands both having-taken-away and
τῆς ἐς τὰ ναυτικὰ παύσας ἀρχῆς. καὶ χρόνον μέν τινα
from-the over the naval-affairs having-stopped rule and time indeed some
ἡσύχασαν Ἀθηναῖοι Φιλίππου βασιλεύοντος καὶ ὕστερον
kept-quiet Athenians Philip being-king and later
Ἀλεξάνδρου· τελευτήσαντος δὲ Ἀλεξάνδρου Μακεδόνες μὲν
Alexander having-died and Alexander Macedonians indeed
βασιλεύειν εἵλοντο Ἀριδαῖον, Ἀντιπάτρῳ δὲ ἐπετέτραπτο ἡ
to-be-king chose Arrhidaeus to-Antipater and had-been-entrusted the
πᾶσα ἀρχή, καὶ Ἀθηναίοις οὐκέτι ἀνεκτὰ ἐφαίνετο εἰ τὸν
whole rule and to-Athenians no-longer bearable it-appeared if the
πάντα χρόνον ἔσται ἐπὶ Μακεδόσι τὸ Ἑλληνικόν, ἀλλ᾽
all time will-be under Macedonians the Greek-nation but
αὐτοί τε πολεμεῖν ὥρμηντο καὶ ἄλλους ἐς τὸ ἔργον ἤγειρον.
themselves both to-make-war were-eager and others to the work roused
25.4 ἐγένοντο δὲ αἱ μετασχοῦσαι πόλεις Πελοποννησίων
were and the having-taken-part cities of-Peloponnesians
μὲν Ἄργος Ἐπίδαυρος Σικυὼν Τροιζὴν Ἠλεῖοι Φλιάσιοι
indeed Argos Epidaurus Sicyon Troezen Eleans Phliasians

Μεσσήνη, οἱ δὲ ἔξω τοῦ Κορινθίων ἰσθμοῦ Λοκροὶ
Messene those and outside the of-Corinthians isthmus Locrians
Φωκεῖς Θεσσαλοὶ Κάρυστος Ἀκαρνᾶνες ἐς τὸ Αἰτωλικὸν
Phocians Thessalians Carystus Acarnanians to the Aetolian-league
συντελοῦντες· Βοιωτοὶ δὲ Θηβαίων ἠρημωμένην τὴν γῆν
contributing Boeotians but of-Thebans having-been-desolated the land
τὴν Θηβαΐδα νεμόμενοι δέει μὴ Θήβας αὖθις Ἀθηναῖοί
the Theban inhabiting from-fear lest Thebes again Athenians
σφισιν ἐποικίζωσιν οὔτε ἐς τὴν συμμαχίαν ἐτάσσοντο καὶ
for-them should-resettle neither into the alliance were-ranged and
ἐς ὅσον ἦκον δυνάμεως τὰ Μακεδόνων ηὔξον.
to as-much-as they-came of-power the-affairs of-Macedonians increased
τοὺς δὲ ἐς τὸ συμμαχικὸν ταχθέντας κατὰ πόλεις τε 25.5
those and into the allied-force ranged by cities both
ἑκάστους ἦγον στρατηγοὶ καὶ τοῦ παντὸς ἄρχειν ᾑρητο
each led generals and of-the whole to-command had-been-chosen
Ἀθηναῖος Λεωσθένης πόλεώς τε ἀξιώματι καὶ αὐτὸς εἶναι
Athenian Leosthenes of-city both for-dignity and himself to-be
δοκῶν πολέμων ἔμπειρος. ὑπῆρχε δέ οἱ καὶ πρὸς πάντας
seeming of-wars experienced belonged and to-him also toward all
εὐεργεσία τοὺς Ἕλληνας· ὁπόσοι γὰρ μισθοῦ παρὰ Δαρείῳ
benefaction the Greeks as-many-as for for-pay with Darius
καὶ σατράπαις ἐστρατεύοντο Ἕλληνες, ἀνοικίσαι σφᾶς ἐς
and satraps campaigned Greeks to-resettle them into
τὴν Περσίδα θελήσαντος Ἀλεξάνδρου Λεωσθένης ἔφθη
— Persia having-wished Alexander Leosthenes was-beforehand
κομίσας ναυσὶν ἐς τὴν Εὐρώπην. καὶ δὴ καὶ τότε ὧν
having-conveyed with-ships to — Europe and indeed also then than-what
ἐς αὐτὸν ἤλπισαν ἔργα λαμπρότερα ἐπιδειξάμενος παρέσχεν
for him they-hoped deeds more-brilliant having-displayed caused
ἀποθανὼν ἀθυμῆσαι πᾶσι καὶ δι᾽ αὐτὸ οὐχ ἥκιστα
having-died to-despair for-all and because-of it not least

σφαλῆναι· φρουρά τε Μακεδόνων ἐσῆλθεν Ἀθηναίοις, οἳ
to-have-failed garrison both of-Macedonians entered for-Athenians who
Μουνυχίαν, ὕστερον δὲ καὶ Πειραιᾶ καὶ τείχη μακρὰ ἔσχον.
Munychia later and also Piraeus and walls long held
25.6 Ἀντιπάτρου δὲ ἀποθανόντος Ὀλυμπιὰς διαβᾶσα ἐξ
Antipater and having-died Olympias having-crossed from
Ἠπείρου χρόνον μέν τινα ἦρξεν ἀποκτείνασα Ἀριδαῖον,
Epirus time indeed some ruled having-killed Arrhidaeus
οὐ πολλῷ δὲ ὕστερον ἐκπολιορκηθεῖσα ὑπὸ Κασσάνδρου
not much but later having-been-reduced-by-siege by Cassander
παρεδόθη τῷ πλήθει. Κάσσανδρος δὲ βασιλεύσας —
was-handed-over to-the multitude Cassander and having-become-king
τὰ δὲ ἐς Ἀθηναίους ἐπέξεισί μοι μόνα ὁ λόγος —
the-things but about Athenians will-go-through for-me only the account
Πάνακτον τεῖχος ἐν τῇ Ἀττικῇ καὶ Σαλαμῖνα εἶλε
Panactum fort in — Attica and Salamis took
τύραννόν τε Ἀθηναίοις ἔπραξε γενέσθαι Δημήτριον τὸν
tyrant both for-Athenians brought-about to-become Demetrius the
Φανοστράτου, δόξαν εἰληφότα ἐπὶ σοφίᾳ. τοῦτον μὲν
son-of-Phanostratus repute having-gained for wisdom this-one indeed
δὴ τυραννίδος ἔπαυσε Δημήτριος ὁ Ἀντιγόνου, νέος τε
indeed from-tyranny stopped Demetrius the son-of-Antigonus young both
ὢν καὶ φιλοτίμως πρὸς τὸ Ἑλληνικὸν διακείμενος·
being and ambitiously toward the Greek-nation disposed
25.7 Κάσσανδρος δὲ — δεινὸν γάρ τι ὑπῆν οἱ μῖσος
Cassander and terrible for something was-beneath in-him hatred
son-of-Philip the both rule to-have-lost and himself captive
ἐς Ἰταλίαν ἀχθῆναι. Φίλιππος δὲ ἦν οὗτος ὁ Δημητρίου·
to Italy to-have-been-led Philip and was this the son-of-Demetrius
πρῶτος γὰρ ταύτης τῆς οἰκίας ἔσχε Δημήτριος τὴν
first for of-this the house held Demetrius the
Μακεδόνων ἀρχὴν ἀποκτείνας Ἀλέξανδρον τὸν Κασσάνδρου
of-Macedonians rule having-killed Alexander the of-Cassander
παῖδα, ὡς τὰ πρότερον ἔχει μοι τοῦ λόγου.
son as the earlier-parts hold for-me of-the account

Along the Sacred Way are the tombs of Heliodorus, Themistocles' descendants, and Acestium, whose family held the torch for generations; the Laciadae, Phytalus, who received Demeter and the fig, and the hair offered to the Cephisus follow. Across the river lie Zeus Meilichius' altar, where Theseus was purified, Cyamites, Harpalus' monument to Pythonice, and a sanctuary first made for Apollo alone, where Cephalus' descendants sacrificed at a serpent's sign. The Rheiti, sacred to the Maiden and Demeter, mark the old border of Eleusis. Crocon's palace, Eumolpus and the war of Eleusis with Erechtheus, Hippothoon, Zarex, and Procrustes lead to Eleusis, where Pausanias names the well Callichorum and the Rharian plain but obeys a dream and keeps silent on the sanctuary. Beyond lie Eleutherae, which went over to Athens, and the cave where Antiope left her children.

37.1 μετὰ δὲ τοῦ Κηφισοδώρου τὸ μνῆμα τέθαπται μὲν
after and — of-Cephisodorus the monument is-buried indeed
Ἡλιόδωρος Ἅλιεύς· τούτου γραφὴν ἰδεῖν ἔστι καὶ ἐν τῷ
Heliodorus Halieus of-this painting to-see it-is also in the
ναῷ τῷ μεγάλῳ τῆς Ἀθηνᾶς· τέθαπται δὲ Θεμιστοκλῆς
temple the great — of-Athena is-buried and Themistocles
Πολιάρχου, τρίτος ἀπόγονος Θεμιστοκλέους τοῦ Ξέρξῃ
son-of-Poliarchus third descendant of-Themistocles the(-one) Xerxes
καὶ Μήδοις ἐναντία ναυμαχήσαντος. τοὺς δὲ κατωτέρω
and Medes against having-fought-at-sea the(-ones) and lower
τοῦ γένους πλὴν Ἀκεστίου παρήσω τοὺς ἄλλους· Ἀκεστίῳ
of-the family except Acestium I-will-pass-over the others for-Acestium
δὲ τῇ Ξενοκλέους τοῦ Σοφοκλέους τοῦ Λέοντος τούτους
and the daughter-of-Xenocles the son-of-Sophocles the son-of-Leon these
τε ἐς τὸν τέταρτον πρόγονον Λέοντα δᾳδούχους πάντας
both to the fourth ancestor Leon torch-bearers all
ὑπῆρξε γενέσθαι καὶ παρὰ τὸν βίον τὸν αὑτῆς πρῶτον
it-fell to-have-been and in the life the her-own first

μὲν τὸν ἀδελφὸν Σοφοκλέα εἶδε δᾳδουχοῦντα, ἐπὶ δὲ
indeed the brother Sophocles she-saw being-torch-bearer after and
τούτῳ τὸν ἄνδρα Θεμιστοκλέα, τελευτήσαντος δὲ καὶ
this the husband Themistocles having-died and also
τούτου Θεόφραστον τὸν παῖδα.
this-one Theophrastus the son
ταύτῃ μὲν τύχην τοιαύτην συμβῆναι λέγουσι· 37.2
to-her indeed fortune such to-have-happened they-say
προελθοῦσι δὲ ὀλίγον Λακίου τέμενός ἐστιν
for-those-having-gone-forward and a-little of-Lacius precinct is
ἥρωος καὶ δῆμος ὃν Λακιάδας ὀνομάζουσιν ἀπὸ τούτου,
of-hero and deme which Laciadae they-name from this
καὶ Νικοκλέους Ταραντίνου ἐστὶ μνῆμα, ὃς ἐπὶ μέγιστον
and of-Nicocles Tarentine is monument who to greatest
δόξης κιθαρῳδῶν ἁπάντων ἦλθεν. ἔστι δὲ καὶ Ζεφύρου τε
of-fame of-harp-singers of-all came there-is and also of-Zephyrus both
βωμὸς καὶ Δήμητρος ἱερὸν καὶ τῆς παιδός· σὺν δέ σφισιν
altar and of-Demeter sanctuary and of-the daughter with and them
Ἀθηνᾶ καὶ Ποσειδῶν ἔχουσι τιμάς. ἐν τούτῳ τῷ χωρίῳ
Athena and Poseidon have honors in this the place
Φύταλόν φασιν οἴκῳ Δήμητρα δέξασθαι, καὶ τὴν θεὸν
Phytalus they-say in-house Demeter to-have-received and the goddess
ἀντὶ τούτων δοῦναί οἱ τὸ φυτὸν τῆς συκῆς· μαρτυρεῖ
in-return-for these to-have-given to-him the plant of-the fig bears-witness
δέ μοι τῷ λόγῳ τὸ ἐπίγραμμα τὸ ἐπὶ τῷ Φυτάλου τάφῳ·
and for-me to-the account the inscription the on the of-Phytalus tomb

ἐνθάδ' ἄναξ ἥρως Φύταλός ποτε δέξατο σεμνὴν
here lord hero Phytalus once received august
Δήμητραν, ὅτε πρῶτον ὀπώρας καρπὸν ἔφηνεν,
Demeter when first of-autumn fruit she-showed

ἣν ἱερὰν συκῆν θνητῶν γένος ἐξονομάζει·
which sacred fig of-mortals race names
ἐξ οὗ δὴ τιμὰς Φυτάλου γένος ἔσχεν ἀγήρως.
from which indeed honors of-Phytalus race got ageless

37.3 πρὶν δὲ ἢ διαβῆναι τὸν Κηφισὸν Θεοδώρου μνῆμά
before and than to-cross the Cephisus of-Theodorus monument
ἐστι τραγῳδίαν ὑποκριναμένου τῶν καθ᾽ αὑτὸν ἄριστα.
is tragedy having-acted of-those in his-time best
ἀγάλματα δὲ ἐπὶ τῷ ποταμῷ Μνησιμάχης, τὸ δὲ ἕτερον
statues and by the river of-Mnesimache the and other
ἀνάθημα κειρομένου οἱ τὴν κόμην τοῦ παιδός ἐστι τῷ
offering cutting her the hair of-the son is to-the
Κηφισῷ· καθεστάναι δὲ ἐκ παλαιοῦ καὶ τοῖς πᾶσι τοῦτο
Cephisus to-be-established and from of-old also for-the all this
Ἕλλησι τῇ Ὁμήρου τις ἂν τεκμαίροιτο ποιήσει, ὃς
Greeks by-the of-Homer one — would-judge poetry who
τὸν Πηλέα εὔξασθαί φησι τῷ Σπερχειῷ κερεῖν
— Peleus to-have-vowed says to-the Spercheus to-be-going-to-cut
ἀνασωθέντος ἐκ Τροίας Ἀχιλλέως τὴν κόμην.
having-come-safe from Troy Achilles the hair
37.4 διαβᾶσι δὲ τὸν Κηφισὸν βωμός ἐστιν ἀρχαῖος
for-those-having-crossed and the Cephisus altar is ancient
Μειλιχίου Διός· ἐπὶ τούτῳ Θησεὺς ὑπὸ τῶν ἀπογόνων
of-Meilichius Zeus at this Theseus by the descendants
τῶν Φυτάλου καθαρσίων ἔτυχε, λῃστὰς καὶ ἄλλους
the of-Phytalus purification obtained robbers both others
ἀποκτείνας καὶ Σίνιν τὰ πρὸς Πιτθέως συγγενῆ. τάφος
having-killed and Sinis the on-the-side-of Pittheus kinsman tomb
δὲ ἔστι μὲν αὐτόθι Θεοδέκτου τοῦ Φασηλίτου, ἔστι δὲ
and is indeed there of-Theodectes the Phaselite is and

Μνησιθέου· τοῦτον λέγουσιν ἰατρόν τε ἀγαθὸν γενέσθαι
of-Mnesitheus this-one they-say physician both good to-have-been
καὶ ἀναθεῖναι ἀγάλματα, ἐν οἷς καὶ ὁ Ἴακχος
and to-have-dedicated statues among which also — Iacchus
πεποίηται. ᾠκοδόμηται δὲ κατὰ τὴν ὁδὸν ναὸς οὐ μέγας
is-made has-been-built and along the road temple not large
καλούμενος Κυαμίτου· σαφὲς δὲ οὐδὲν ἔχω λέγειν εἴτε
called of-Cyamites clear but nothing I-can to-say whether
πρῶτος κυάμους ἔσπειρεν οὗτος εἴτε τινὰ ἐπεφήμισαν
first beans sowed this-one or some they-named
ἥρωα, ὅτι τῶν κυάμων ἀνενεγκεῖν οὐκ ἔστι σφίσιν ἐς
hero because of-the beans to-ascribe not is for-them to
Δήμητρα τὴν εὕρεσιν. ὅστις δὲ ἤδη τελετὴν Ἐλευσῖνι
Demeter the discovery whoever and already rite at-Eleusis
εἶδεν ἢ τὰ καλούμενα Ὀρφικὰ ἐπελέξατο, οἶδεν ὃ λέγω.
saw or the called Orphic-poems read knows what I-mean
μνημάτων δὲ ἃ μάλιστα ἐς μέγεθος καὶ κόσμον 37.5
of-monuments and which most for size and adornment
ἥκει, τὸ μὲν ἀνδρός ἐστι Ῥοδίου μετοικήσαντος ἐς
come the(-one) indeed of-man is Rhodian having-migrated to
Ἀθήνας, τὸ δὲ Ἅρπαλος Μακεδὼν ἐποίησεν, ὃς
Athens the(-other) and Harpalus Macedonian made who
Ἀλέξανδρον ἀποδρὰς ἐκ τῆς Ἀσίας διέβη ναυσὶν ἐς
Alexander having-run-away-from from — Asia crossed with-ships to
τὴν Εὐρώπην, ἀφικόμενος δὲ παρ᾽ Ἀθηναίους ὑπ᾽ αὐτῶν
— Europe having-arrived and to Athenians by them
συνελήφθη, διαφθείρας δὲ χρήμασιν ἄλλους τε καὶ τοὺς
was-arrested having-corrupted and with-money others both and the
Ἀλεξάνδρου φίλους ἀπέδρα, πρότερον δὲ ἔτι Πυθονίκην
of-Alexander friends escaped before and still Pythonice
ἔγημε, γένος μὲν οὐκ οἶδα ὁπόθεν, ἑταιροῦσαν δὲ ἔν
married by-birth indeed not I-know whence being-a-courtesan but in

τε Ἀθήναις καὶ ἐν Κορίνθῳ· ταύτης ἐς τοσοῦτον ἔρωτος
both Athens and in Corinth of-this to so-much of-love
προῆλθεν ὡς καὶ μνῆμα ἀποθανούσης ποιῆσαι πάντων
he-advanced that also monument having-died to-make of-all
ὁπόσα Ἕλλησίν ἐστιν ἀρχαῖα θέας μάλιστα ἄξιον.
as-many-as for-Greeks are ancient of-sight most worthy
37.6 ἔστι δὲ ἱερὸν ἐν ᾧ κεῖται Δήμητρος καὶ τῆς παιδὸς
there-is and sanctuary in which lie of-Demeter and of-the daughter
ἀγάλματα καὶ Ἀθηνᾶς τε καὶ Ἀπόλλωνος· Ἀπόλλωνι δὲ
statues and of-Athena both and of-Apollo for-Apollo and
ἐποιήθη μόνῳ τὸ ἐξ ἀρχῆς. Κέφαλον γὰρ τὸν Δηίονος
was-made alone the from beginning Cephalus for the son-of-Deion
συνεξελόντα λέγουσιν Ἀμφιτρύωνι Τηλεβόας τὴν νῆσον
having-helped-destroy they-say with-Amphitryon Teleboans the island
οἰκῆσαι πρῶτον, ἣ νῦν ἀπ᾽ ἐκείνου Κεφαλληνία
to-have-inhabited first which now from that-one Cephallenia
καλεῖται· μετοικεῖν δὲ αὐτὸν τέως ἐν Θήβαις φεύγοντα ἐξ
is-called to-dwell and him meanwhile in Thebes fleeing from
Ἀθηνῶν διὰ τὸν Πρόκριδος τῆς γυναικὸς φόνον. δεκάτῃ
Athens because-of the of-Procris the wife murder in-tenth
δὲ ὕστερον γενεᾷ Χαλκῖνος καὶ Δαῖτος ἀπόγονοι Κεφάλου
and later generation Chalcinus and Daetus descendants of-Cephalus
πλεύσαντες ἐς Δελφοὺς ᾔτουν τὸν θεὸν κάθοδον ἐς Ἀθήνας·
having-sailed to Delphi asked the god return to Athens
37.7 ὁ δέ σφισι κελεύει θῦσαι πρῶτον Ἀπόλλωνι ἐνταῦθα τῆς
he and to-them bids to-sacrifice first to-Apollo there —
Ἀττικῆς, ἔνθα ἂν ἴδωσιν ἐπὶ τῆς γῆς τριήρη θέουσαν.
of-Attica where — they-should-see on the land trireme running
γενομένοις δὲ αὐτοῖς κατὰ τὸ ποικίλον καλούμενον
having-come and to-them at the Poecilum called
ὄρος δράκων ἐφάνη σπουδῇ κατὰ τὸν φωλεὸν ἰών·
mountain serpent appeared hastily into the hole going

καὶ Ἀπόλλωνί τε θύουσιν ἐν τῷ χωρίῳ τούτῳ καὶ
and to-Apollo both they-sacrifice in the place this and
ὕστερον σφᾶς ἐλθόντας ἐς τὴν πόλιν ἀστοὺς ἐποιήσαντο
later them having-come to the city citizens made
Ἀθηναῖοι. — μετὰ δὲ τοῦτο Ἀφροδίτης ναός ἐστι καὶ
Athenians after and this of-Aphrodite temple is and
πρὸ αὐτοῦ τεῖχος ἀργῶν λίθων θέας ἄξιον.
before it wall of-unwrought stones of-sight worthy
οἱ δὲ Ῥειτοὶ καλούμενοι ῥεῦμα μόνον παρέχονται ποταμῶν, 38.1
the and Rheiti called stream only offer of-rivers
ἐπεὶ τό γε ὕδωρ θάλασσά ἐστί σφισι· πείθοιτο δὲ
since the at-least water sea is for-them might-be-persuaded and
ἄν τις καὶ ὡς ἀπὸ τοῦ Χαλκιδέων Εὐρίπου ῥέουσιν ὑπὸ
— one also that from the of-Chalcidians Euripus they-flow under
τῆς γῆς ἐς θάλασσαν κοιλοτέραν ἐμπίπτοντες. λέγονται
the earth into sea lower falling-in are-said
δὲ οἱ Ῥειτοὶ Κόρης ἱεροὶ καὶ Δήμητρος εἶναι, καὶ
and the Rheiti of-Maiden sacred and of-Demeter to-be and
τοὺς ἰχθῦς ἐξ αὐτῶν τοῖς ἱερεῦσιν ἔστιν αἱρεῖν μόνοις.
the fish from them for-the priests it-is to-catch alone
οὗτοι τὸ ἀρχαῖον, ὡς ἐγὼ πυνθάνομαι, πρὸς Ἀθηναίους
these the of-old as I learn toward Athenians
τοὺς ἄλλους ὅροι τῆς γῆς Ἐλευσινίοις ἦσαν, καὶ
the others boundaries of-the land for-Eleusinians were and
διαβᾶσι τοὺς Ῥειτοὺς πρῶτος ᾤκει
for-those-having-crossed the Rheiti first dwelt
Κρόκων, ἔνθα καὶ νῦν ἔτι βασίλεια καλεῖται Κρόκωνος. 38.2
Crocon where also now still palace is-called of-Crocon
τοῦτον Ἀθηναῖοι τὸν Κρόκωνα Κελεοῦ θυγατρὶ συνοικῆσαι
this Athenians — Crocon of-Celeus daughter to-have-married
Σαισάρᾳ λέγουσι· λέγουσι δὲ οὐ πάντες, ἀλλ᾽ ὅσοι τοῦ
Saesara say say but not all but as-many-as of-the

δήμου τοῦ Σκαμβωνιδῶν εἰσιν· ἐγὼ δὲ Κρόκωνος μὲν
deme the of-Scambonidae are I and of-Crocon indeed
ἀνευρεῖν τάφον οὐχ οἷός τε ἐγενόμην, τὸ δὲ Εὐμόλπου
to-find tomb not able — I-was the but of-Eumolpus
μνῆμα κατὰ ταὐτὰ Ἐλευσινίοις ἀπέφαινον καὶ Ἀθηναῖοι.
monument in the-same-way with-Eleusinians they-showed and Athenians
τοῦτον τὸν Εὔμολπον ἀφικέσθαι λέγουσιν ἐκ Θρᾴκης
this — Eumolpus to-have-come say from Thrace
Ποσειδῶνος παῖδα ὄντα καὶ Χιόνης· τὴν δὲ Χιόνην Βορέου
of-Poseidon son being and of-Chione — and Chione of-Boreas
θυγατέρα τοῦ ἀνέμου καὶ Ὠρειθυίας φασὶν εἶναι. Ὁμήρῳ
daughter the wind and of-Oreithyia they-say to-be by-Homer
δὲ ἐς μὲν τὸ γένος ἐστὶν οὐδὲν αὐτοῦ πεποιημένον,
and about indeed the family is nothing of-him composed
ἐπονομάζει δὲ ἀγήνορα ἐν τοῖς ἔπεσι τὸν Εὔμολπον.
calls but valiant in the verses — Eumolpus
38.3 γενομένης δὲ Ἐλευσινίοις μάχης πρὸς Ἀθηναίους ἀπέθανε
having-taken-place and for-Eleusinians battle against Athenians died
μὲν Ἐρεχθεὺς Ἀθηναίων βασιλεύς, ἀπέθανε δὲ Ἰμμάραδος
indeed Erechtheus of-Athenians king died and Immaradus
Εὐμόλπου· καταλύονται δὲ ἐπὶ τοῖσδε τὸν πόλεμον, ὡς
son-of-Eumolpus end and on these-terms the war that
Ἐλευσινίους ἐς τὰ ἄλλα Ἀθηναίων κατηκόους ὄντας
Eleusinians in the other-things to-Athenians subject being
ἰδίᾳ τελεῖν τὴν τελετήν. τὰ δὲ ἱερὰ τοῖν θεοῖν
separately to-perform the rite the and sacred-rites of-the two-goddesses
Εὔμολπος καὶ αἱ θυγατέρες δρῶσιν αἱ Κελεοῦ, καλοῦσι δὲ
Eumolpus and the daughters perform the of-Celeus call and
σφᾶς Πάμφως τε κατὰ ταὐτὰ καὶ Ὅμηρος Διογένειαν
them Pamphos both in the-same-way and Homer Diogeneia
καὶ Παμμερόπην καὶ τρίτην Σαισάραν· τελευτήσαντος
and Pammerope and third Saesara having-died

δὲ Εὐμόλπου Κήρυξ νεώτερος λείπεται τῶν παίδων, ὃν
and Eumolpus Ceryx younger is-left of-the sons whom
αὐτοὶ Κήρυκες θυγατρὸς Κέκροπος Ἀγλαύρου καὶ Ἑρμοῦ
themselves Ceryces of-daughter of-Cecrops Aglaurus and of-Hermes
παῖδα εἶναι λέγουσιν, ἀλλ᾽ οὐκ Εὐμόλπου.
son to-be say but not of-Eumolpus
ἔστι δὲ Ἱπποθόωντος ἡρῷον, ἀφ᾽ οὗ τὴν φυλὴν ὀνομάζουσι, 38.4
there-is and of-Hippothoon hero-sbrine from whom the tribe they-name
καὶ πλησίον Ζάρηκος. τοῦτον μαθεῖν παρὰ Ἀπόλλωνι
and near of-Zarex this-one to-have-learned with Apollo
μουσικήν φασιν, ἐγὼ δὲ ξένον μὲν ἀφικόμενον ἐς τὴν γῆν
music they-say I but stranger indeed having-come into the land
Λακεδαιμόνιόν τε εἶναι δοκῶ καὶ Ζάρακα ἐν τῇ Λακωνικῇ
Lacedaemonian both to-be I-think and Zarax in — Laconia
πόλιν ἀπὸ τούτου πρὸς θαλάσσῃ καλεῖσθαι· εἰ δέ τις Ζάρηξ
city from this by sea to-be-called if but any Zarex
ἐπιχώριος Ἀθηναίοις ἥρως, οὐδὲν ἐς αὐτὸν ἔχω λέγειν.
native for-Athenians hero nothing about him I-can to-say
— ῥεῖ δὲ Κηφισὸς πρὸς Ἐλευσῖνι βιαιότερον παρεχόμενος 38.5
flows and Cephisus by Eleusis more-violent offering
τοῦ προτέρου ῥεῦμα· καὶ παρ᾽ αὐτῷ καλοῦσιν Ἐρινεόν,
than-the former stream and by it they-call Erineus
λέγοντες τὸν Πλούτωνα ὅτε ἥρπασε τὴν Κόρην καταβῆναι
saying — Pluto when he-carried-off the Maiden to-have-gone-down
ταύτῃ. πρὸς τούτῳ τῷ Κηφισῷ λῃστὴν Πολυπήμονα
here by this the Cephisus robber Polypemon
ὄνομα, Προκρούστην δὲ ἐπίκλησιν, Θησεὺς ἀπέκτεινεν.
by-name Procrustes and by-surname Theseus killed
Ἐλευσινίοις δὲ ἔστι μὲν Τριπτολέμου ναός, ἔστι δὲ 38.6
for-Eleusinians and there-is indeed of-Triptolemus temple there-is and
Προπυλαίας Ἀρτέμιδος καὶ Ποσειδῶνος Πατρός, φρέαρ
of-Propylaea Artemis and of-Poseidon Father well

τε καλούμενον Καλλίχορον, ἔνθα πρῶτον Ἐλευσινίων αἱ
both called Callichorum where first of-Eleusinians the
γυναῖκες χορὸν ἔστησαν καὶ ᾖσαν ἐς τὴν θεόν. τὸ δὲ πεδίον
women dance set-up and sang to the goddess the and plain
τὸ Ῥάριον σπαρῆναι πρῶτον λέγουσι καὶ πρῶτον αὐξῆσαι
the Rharian to-have-been-sown first they-say and first to-have-grown
καρπούς, καὶ διὰ τοῦτο οὐλαῖς ἐξ αὐτοῦ χρῆσθαί σφισι
crops and because-of this barley-meal from it to-use for-them
καὶ ποιεῖσθαι πέμματα ἐς τὰς θυσίας καθέστηκεν. ἐνταῦθα
and to-make cakes for the sacrifices it-is-established there
ἅλως καλουμένη Τριπτολέμου καὶ βωμὸς δείκνυται·
threshing-floor called of-Triptolemus and altar is-shown
38.7 τὰ δὲ ἐντὸς τοῦ τείχους τοῦ ἱεροῦ τό τε ὄνειρον
the(-things) and within the wall of-the sanctuary the both dream
ἀπεῖπε γράφειν, καὶ τοῖς οὐ τελεσθεῖσιν, ὁπόσων θέας
forbade to-write and to-the not having-been-initiated from-what-things of-sight
εἴργονται, δῆλα δήπου μηδὲ πυθέσθαι μετεῖναί σφισιν.
they-are-barred manifest surely not-even to-learn to-be-permitted for-them
Ἐλευσῖνα δὲ ἥρωα, ἀφ᾽ οὗ τὴν πόλιν ὀνομάζουσιν, οἱ
Eleusis and hero from whom the city they-name the(-ones)
μὲν Ἑρμοῦ παῖδα εἶναι καὶ Δαείρας Ὠκεανοῦ θυγατρὸς
indeed of-Hermes son to-be and of-Daeira of-Ocean daughter
λέγουσι, τοῖς δέ ἐστι πεποιημένα Ὤγυγον εἶναι
say by-the(-others) and is composed Ogygus to-be
πατέρα Ἐλευσῖνι· οἱ γὰρ ἀρχαῖοι τῶν λόγων ἅτε οὐ
father to-Eleusis the for ancient of-the stories inasmuch-as not
προσόντων σφίσιν ἐπῶν ἄλλα τε πλάσασθαι δεδώκασι
being-at-hand for-them verses other-things both to-fabricate have-given
καὶ μάλιστα ἐς τὰ γένη τῶν ἡρώων.
and most about the lineages of-the heroes

ἐκ δὲ Ἐλευσῖνος τραπομένοις ἐπὶ Βοιωτῶν, ἐστὶν ὅμορος 38.8
from and Eleusis for-those-turning toward Boeotians is bordering
Ἀθηναίοις ἡ Πλαταιίς. πρότερον μὲν γὰρ Ἐλευθερεῦσιν
to-Athenians the Plataean-land before indeed for for-Eleutherians
ὅροι πρὸς τὴν Ἀττικὴν ἦσαν· προσχωρησάντων δὲ
boundaries toward — Attica were having-gone-over and
Ἀθηναίοις τούτων, οὕτως ἤδη Βοιωτίας ὁ Κιθαιρών
to-Athenians these thus now of-Boeotia the Cithaeron
ἐστιν ὅρος. προσεχώρησαν δὲ Ἐλευθερεῖς οὐ πολέμῳ
is boundary went-over and Eleutherians not by-war
βιασθέντες, ἀλλὰ πολιτείας τε ἐπιθυμήσαντες παρὰ
having-been-forced but citizenship both having-desired from
Ἀθηναίων καὶ κατ᾽ ἔχθος τὸ Θηβαίων. ἐν τούτῳ τῷ
Athenians and out-of hatred the of-Thebans in this the
πεδίῳ ναός ἐστι Διονύσου, καὶ τὸ ξόανον ἐντεῦθεν
plain temple is of-Dionysus and the wooden-image from-here
Ἀθηναίοις ἐκομίσθη τὸ ἀρχαῖον· τὸ δὲ ἐν Ἐλευθεραῖς
for-Athenians was-brought the ancient the(-one) but at Eleutherae
τὸ ἐφ᾽ ἡμῶν ἐς μίμησιν ἐκείνου πεποίηται.
the in our-time in imitation of-that is-made
ἀπωτέρω δὲ ὀλίγον σπήλαιόν ἐστιν οὐ μέγα, καὶ παρ᾽ 38.9
farther and a-little cave is not large and by
αὐτὸ ὕδατος πηγὴ ψυχροῦ· λέγεται δὲ ἐς μὲν τὸ
it of-water spring cold is-said and about indeed the
σπήλαιον ὡς Ἀντιόπη τεκοῦσα κατάθοιτο ἐς αὐτὸ τοὺς
cave that Antiope having-borne put into it the
παῖδας, περὶ δὲ τῆς πηγῆς τὸν ποιμένα εὑρόντα τοὺς
children about and the spring the shepherd having-found the
παῖδας ἐνταῦθα σφᾶς λοῦσαι πρῶτον ἀπολύσαντα τῶν
children there them to-have-washed first having-released from-the
σπαργάνων. Ἐλευθερῶν δὲ ἦν μὲν ἔτι τοῦ τείχους,
swaddling-clothes of-Eleutherae and were indeed still of-the wall

ἦν δὲ καὶ οἰκιῶν ἐρείπια· δήλη δὲ τούτοις ἐστὶ πόλις
were and also of-houses ruins manifest and by-these is city
ὀλίγον ὑπὲρ τοῦ πεδίου πρὸς τῷ Κιθαιρῶνι οἰκισθεῖσα.
a-little above the plain by the Cithaeron founded

XIX · THE ROAD TO MEGARA

On the road to Megara lie the well where Demeter sat and the tombs of those who marched against Thebes, whom Theseus buried; Alope's tomb and Cercyon's wrestling-ground follow. Pausanias ends Attica and turns to the Megarid, once Athenian. In the city he describes Theagenes' fountain, Artemis Soteira, who misled Mardonius' men by night, the Olympieum with its unfinished Zeus, and the shrines on the citadel Caria.

39.1 ἑτέρα δὲ ὁδὸς ἐξ Ἐλευσῖνος πρὸς Μέγαρα ἄγει· ταύτην
other and road from Eleusis to Megara leads this
ἐρχομένοις τὴν ὁδὸν φρέαρ ἐστὶν Ἄνθιον καλούμενον. ἐποίησε
going the road well is Anthium called composed
δὲ Πάμφως ἐπὶ τούτῳ τῷ φρέατι καθῆσθαι Δήμητρα μετὰ
and Pamphos at this the well to-have-sat Demeter after
τὴν ἁρπαγὴν τῆς παιδὸς γραΐ εἰκασμένην· ἐντεῦθεν
the carrying-off of-the daughter to-old-woman likened from-here
δὲ αὐτὴν ἅτε γυναῖκα Ἀργείαν ὑπὸ τῶν θυγατέρων τῶν
and her as woman Argive by the daughters the
Κελεοῦ κομισθῆναι παρὰ τὴν μητέρα καί οἱ τὴν
of-Celeus to-have-been-brought to the mother and to-her —
Μετάνειραν οὕτω πιστεῦσαι τοῦ παιδὸς τὴν ἀνατροφήν.
Metaneira thus to-have-entrusted of-the son the rearing
39.2 ὀλίγῳ δὲ ἀπωτέρω τοῦ φρέατος ἱερὸν Μετανείρας ἐστὶ
by-little and farther from-the well sanctuary of-Metaneira is
καὶ μετ' αὐτὸ τάφοι τῶν ἐπὶ Θήβας. Κρέων γάρ,
and after it tombs of-the(-ones) against Thebes Creon for

ὃς ἐδυνάστευε τότε ἐν Θήβαις Λαοδάμαντα ἐπιτροπεύων
who was-ruling then in Thebes Laodamas being-guardian-of
τὸν Ἐτεοκλέους, οὐ παρῆκε τοῖς προσήκουσιν ἀνελομένοις
the son-of-Eteocles not allowed to-the relatives having-taken-up
θάψαι· ἱκετεύσαντος δὲ Ἀδράστου Θησέα καὶ μάχης
to-bury having-besought and Adrastus Theseus and battle
Ἀθηναίων γενομένης πρὸς Βοιωτούς, Θησεὺς ὡς ἐκράτησε
of-Athenians having-taken-place against Boeotians Theseus when he-prevailed
τῇ μάχῃ κομίσας ἐς τὴν Ἐλευσινίαν τοὺς νεκροὺς
in-the battle having-brought to the Eleusinian-land the corpses
ἐνταῦθα ἔθαψε. Θηβαῖοι δὲ τὴν ἀναίρεσιν τῶν νεκρῶν
there buried Thebans and the taking-up of-the corpses
λέγουσιν ἐθελονταὶ δοῦναι καὶ συνάψαι μάχην οὔ φασι.
say voluntarily to-have-given and to-have-joined battle not they-say
— μετὰ δὲ τῶν Ἀργείων τοὺς τάφους ἐστὶν Ἀλόπης 39.3
after and of-the Argives the tombs is of-Alope
μνῆμα, ἣν τεκοῦσαν Ἱπποθόωντα ἐκ Ποσειδῶνος ἀποθανεῖν
monument who having-borne Hippothoon by Poseidon to-have-died
ἐνταῦθά φασιν ὑπὸ τοῦ πατρὸς Κερκυόνος. εἶναι δὲ
here they-say by the father Cercyon to-be and
ὁ Κερκυὼν λέγεται καὶ τὰ ἄλλα ἄδικος ἐς τοὺς
— Cercyon is-said both in-the other-things unjust toward the
ξένους καὶ παλαίειν οὐ βουλομένοις· καὶ ὁ τόπος οὗτος
strangers and to-wrestle not to-ones-wishing and the place this
παλαίστρα καὶ ἐς ἐμὲ ἐκαλεῖτο Κερκυόνος, ὀλίγον τοῦ
wrestling-school even to me was-called of-Cercyon a-little from-the
τάφου τῆς Ἀλόπης ἀπέχων. λέγεται δὲ ὁ Κερκυὼν τοὺς
tomb — of-Alope being-distant is-said and — Cercyon those
καταστάντας ἐς πάλην διαφθεῖραι πλὴν Θησέως, Θησεὺς
having-entered into wrestling to-have-destroyed except Theseus Theseus
δὲ κατεπάλαισεν αὐτὸν σοφίᾳ τὸ πλέον· παλαιστικὴν γὰρ
but outwrestled him by-skill the more wrestling for

τέχνην εὗρε Θησεὺς πρῶτος καὶ πάλης κατέστη ὕστερον
art discovered Theseus first and of-wrestling was-established later
ἀπ᾽ ἐκείνου διδασκαλία· πρότερον δὲ ἐχρῶντο μεγέθει
from that-one teaching before and they-used size
μόνον καὶ ῥώμῃ πρὸς τὰς πάλας. τοσαῦτα κατὰ
only and strength for the wrestlings so-many-things in-accordance-with
γνώμην τὴν ἐμὴν Ἀθηναίοις γνωριμώτατα ἦν ἔν τε
opinion the my to-Athenians best-known were in both
λόγοις καὶ θεωρήμασιν, ἀπέκρινε δὲ ἀπὸ τῶν πολλῶν
stories and sights separated and from the many
ἐξ ἀρχῆς ὁ λόγος μοι τὰ ἐς συγγραφὴν ἀνήκοντα.
from beginning the account my the-things for writing pertaining
39.4 Ἐλευσῖνι δὲ ἤδη πλησιόχωρος ἡ καλουμένη Μεγαρίς·
to-Eleusis and already neighboring the called Megarid
τῆς Ἀθηναίων ἦν καὶ αὕτη τὸ ἀρχαῖον, Πύλα τοῦ
of-the(-one) Athenians was also this the of-old Pylas the
βασιλέως καταλιπόντος Πανδίονι. μαρτύρια δέ μοι
king having-left to-Pandion evidences and for-me
τάφος τε Πανδίονος ἐν τῇ γῇ καὶ Νῖσος Αἰγεῖ
tomb both of-Pandion in the land and Nisus to-Aegeus
μὲν πρεσβυτάτῳ τοῦ παντὸς γένους παραχωρήσας
indeed eldest of-the whole family having-yielded
Ἀθηναίων ἄρχειν, αὐτὸς δὲ Μεγάρων καὶ τῆς ἄχρι
of-Athenians to-rule himself and of-Megara and of-the-land as-far-as
Κορίνθου βασιλεύειν ἀξιωθείς· Νίσαιά τε ἔτι καὶ
Corinth to-be-king having-been-deemed-worthy Nisaea both still even
νῦν Μεγαρεῦσιν ἐπίνειον ἀπ᾽ αὐτοῦ καλεῖται. Κόδρου
now for-Megarians port from him is-called Codrus
δὲ ὕστερον βασιλεύοντος στρατεύουσιν ἐπ᾽ Ἀθήνας
and later being-king campaign against Athens
Πελοποννήσιοι· καὶ ὡς οὐδὲν ἀποδειξάμενοι λαμπρὸν
Peloponnesians and as nothing having-displayed brilliant

ἐκομίζοντο ὀπίσω, Μέγαρα Ἀθηναίων ἑλόντες Κορινθίων
they-were-going back Megara from-Athenians having-taken of-Corinthians
καὶ τῶν ἄλλων συμμάχων τοῖς ἐθέλουσιν ἔδωκαν οἰκῆσαι.
and of-the other allies to-the willing gave to-inhabit
Μεγαρεῖς μὲν οὕτως ἔθη καὶ φωνὴν μεταβαλόντες 39.5
Megarians indeed thus customs and speech having-changed
Δωριεῖς γεγόνασι, κληθῆναι δὲ οὕτω τὴν πόλιν
Dorians have-become to-have-been-called and thus the city
φασὶν ἐπὶ Καρὸς τοῦ Φορωνέως ἐν τῇ γῇ ταύτῃ
they-say in-the-time-of Car the son-of-Phoroneus in the land this
βασιλεύοντος· τότε πρῶτον λέγουσιν ἱερὰ γενέσθαι
being-king then first they-say sanctuaries to-have-been
Δήμητρος αὐτοῖς, τότε ἀνθρώπους ὀνομάσαι Μέγαρα.
of-Demeter for-them then men to-have-named Megara
οὕτω μὲν αὐτοὶ περὶ σφῶν Μεγαρεῖς λέγουσι· Βοιωτοὶ
thus indeed themselves about themselves Megarians say Boeotians
δὲ ἐν Ὀγχηστῷ Μεγαρέα τὸν Ποσειδῶνος οἰκοῦντα
but in Onchestus Megareus the son-of-Poseidon dwelling
ἀφικέσθαι στρατιᾷ Βοιωτῶν φασι Νίσῳ τὸν πρὸς Μίνω
to-have-come with-army of-Boeotians they-say to-Nisus the against Minos
πόλεμον συνδιοίσοντα, πεσόντα δὲ αὐτὸν ἐν τῇ μάχῃ
war going-to-help-carry-through having-fallen and him in the battle
ταφῆναί τε αὐτοῦ καὶ τῇ πόλει Μέγαρα ὄνομα ἀπὸ
to-have-been-buried both there and to-the city Megara name from
τούτου γενέσθαι, πρότερον Νίσᾳ καλουμένῃ.
this to-have-come-about before Nisa called
δωδεκάτῃ δὲ ὕστερον μετὰ Κᾶρα τὸν Φορωνέως γενεᾷ 39.6
in-twelfth and later after Car the son-of-Phoroneus generation
λέγουσιν οἱ Μεγαρεῖς Λέλεγα ἀφικόμενον ἐξ Αἰγύπτου
say the Megarians Lelex having-come from Egypt
βασιλεῦσαι καὶ τοὺς ἀνθρώπους κληθῆναι Λέλεγας
to-have-been-king and the men to-have-been-called Leleges

ἐπὶ τῆς ἀρχῆς αὐτοῦ· Κλήσωνος δὲ τοῦ Λέλεγος
in-the-time-of the rule of-him of-Cleson and the son-of-Lelex
γενέσθαι Πύλαν, τοῦ Πύλα δὲ Σκίρωνα· τοῦτον
to-have-been-born Pylas — of-Pylas and Sciron this-one
συνοικῆσαι Πανδίονος θυγατρί, καὶ ὕστερον Νίσῳ τῷ
to-have-married of-Pandion daughter and later with-Nisus the
Πανδίονος ἐς ἀμφισβήτησιν ἐλθεῖν περὶ τῆς ἀρχῆς
son-of-Pandion into dispute to-have-come about the rule
Σκίρωνα καί σφισιν Αἰακὸν δικάσαι, βασιλείαν μὲν
Sciron and for-them Aeacus to-have-judged kingship indeed
διδόντα Νίσῳ καὶ τοῖς ἀπογόνοις, Σκίρωνι δὲ ἡγεμονίαν
giving to-Nisus and to-the descendants for-Sciron and leadership
εἶναι πολέμου. Μεγαρέα δὲ τὸν Ποσειδῶνος θυγατρὶ Νίσου
to-be of-war Megareus and the son-of-Poseidon daughter of-Nisus
συνοικήσαντα Ἰφινόῃ διαδέξασθαι τὴν τοῦ Νίσου φασὶν
having-married Iphinoe to-have-succeeded-to the — of-Nisus they-say
ἀρχήν· τὸν δὲ Κρητικὸν πόλεμον καὶ τὴν ἐπὶ Νίσου
rule the and Cretan war and the in-the-time-of Nisus
βασιλεύοντος ἅλωσιν τῆς πόλεως οὐκ ἐθέλουσιν εἰδέναι.
being-king capture of-the city not they-wish to-know
40.1 ἔστι δὲ ἐν τῇ πόλει κρήνη, ἣν σφισιν ᾠκοδόμησε
there-is and in the city fountain which for-them built
Θεαγένης, οὗ καὶ πρότερον τούτων ἐπεμνήσθην
Theagenes of-whom also before these I-made-mention
θυγατέρα αὐτὸν συνοικίσαι Κύλωνι Ἀθηναίῳ. οὗτος
daughter him to-have-given-in-marriage to-Cylon Athenian this
ὁ Θεαγένης τυραννήσας ᾠκοδόμησε τὴν κρήνην μεγέθους
— Theagenes having-been-tyrant built the fountain of-size
ἕνεκα καὶ κόσμου καὶ ἐς τὸ πλῆθος τῶν κιόνων
for-the-sake and of-adornment and for the number of-the columns
θέας ἀξίαν· καὶ ὕδωρ ἐς αὐτὴν ῥεῖ καλούμενον Σιθνίδων
of-sight worthy and water into it flows called of-Sithnid

νυμφῶν. τὰς δὲ Σιθνίδας νύμφας λέγουσι Μεγαρεῖς εἶναι
nymphs the and Sithnid nymphs say Megarians to-be
μέν σφισιν ἐπιχωρίας, μιᾷ δὲ αὐτῶν συγγενέσθαι Δία,
indeed for-them native with-one and of-them to-have-lain Zeus
Μέγαρόν τε παῖδα ὄντα Διὸς καὶ ταύτης δὴ τῆς νύμφης
Megarus both son being of-Zeus and this indeed the nymph
ἐκφυγεῖν τὴν ἐπὶ Δευκαλίωνός ποτε ἐπομβρίαν,
to-have-escaped the in-the-time-of Deucalion once deluge
ἐκφυγεῖν δὲ πρὸς τὰ ἄκρα τῆς Γερανίας, οὐκ ἔχοντός
to-have-escaped and to the heights of-the Gerania not having
πω τοῦ ὄρους τὸ ὄνομα τοῦτο, ἀλλὰ — νήχεσθαι γὰρ
yet the mountain the name this but to-swim for
πετομένων γεράνων πρὸς τὴν βοὴν τῶν ὀρνίθων αὐτόν —
flying cranes toward the cry of-the birds him
διὰ τοῦτο Γερανίαν τὸ ὄρος ὀνομασθῆναι.
because-of this Gerania the mountain to-have-been-named
τῆς δὲ κρήνης οὐ πόρρω ταύτης ἀρχαῖόν ἐστιν ἱερόν, 40.2
of-the and fountain not far this ancient is sanctuary
εἰκόνες δὲ ἐφ' ἡμῶν ἑστᾶσιν ἐν αὐτῷ βασιλέων Ῥωμαίων
statues and in our-time stand in it of-emperors Roman
καὶ ἄγαλμα κεῖται χαλκοῦν Ἀρτέμιδος ἐπίκλησιν Σωτείρας.
and statue lies of-bronze of-Artemis by-surname Soteira
φασὶ δὲ ἄνδρας τοῦ Μαρδονίου στρατοῦ καταδραμόντας
they-say and men of-the of-Mardonius army having-overrun
τὴν Μεγαρίδα ἀποχωρεῖν ἐς Θήβας ὀπίσω παρὰ Μαρδόνιον
the Megarid to-withdraw to Thebes back to Mardonius
ἐθέλειν, γνώμῃ δὲ Ἀρτέμιδος νύκτα τε ὁδοιποροῦσιν
to-wish by-will but of-Artemis night both to-them-journeying
ἐπιγενέσθαι καὶ τῆς ὁδοῦ σφᾶς ἁμαρτόντας ἐς τὴν
to-have-come-on and of-the road them having-missed into the
ὀρεινὴν τραπέσθαι τῆς χώρας· πειρωμένους δὲ εἰ
mountainous to-have-turned of-the country trying and whether

στράτευμα ἐγγὺς εἴη πολέμιον ἀφιέναι τῶν βελῶν, καὶ
army near was hostile to-let-fly of-the missiles and
τὴν πλησίον πέτραν στένειν βαλλομένην, τοὺς δὲ αὖθις
the near rock to-groan being-struck them and again
τοξεύειν προθυμίᾳ πλέονι.
to-shoot with-eagerness greater

40.3 τέλος δὲ αὐτοῖς ἀναλωθῆναι τοὺς ὀιστοὺς ἐς ἄνδρας
finally and to-them to-have-been-used-up the arrows at men
πολεμίους τοξεύειν νομίζουσιν· ἡμέρα τε ὑπεφαίνετο καὶ οἱ
hostile to-shoot thinking day both was-dawning and the
Μεγαρεῖς ἐπῄεσαν, μαχόμενοι δὲ ὁπλῖται πρὸς ἀνόπλους
Megarians attacked fighting and hoplites against unarmed
καὶ οὐδὲ βελῶν εὐποροῦντας ἔτι φονεύουσιν αὐτῶν
and not-even with-missiles well-provided still slay of-them
τοὺς πολλούς· καὶ ἐπὶ τῷδε Σωτείρας ἄγαλμα ἐποιήσαντο
the most and for this of-Soteira statue made
Ἀρτέμιδος. ἐνταῦθα καὶ τῶν δώδεκα ὀνομαζομένων θεῶν
of-Artemis there also of-the twelve named gods
ἐστιν ἀγάλματα ἔργα εἶναι λεγόμενα Πραξιτέλους· τὴν
are statues works to-be said of-Praxiteles —
δὲ Ἄρτεμιν αὐτὴν Στρογγυλίων ἐποίησε.
and Artemis herself Strongylion made

40.4 μετὰ ταῦτα ἐς τὸ τοῦ Διὸς τέμενος ἐσελθοῦσι
after these-things into the — of-Zeus precinct for-those-having-entered
καλούμενον Ὀλυμπιεῖον ναός ἐστι θέας ἄξιος· τὸ δὲ ἄγαλμα
called Olympieum temple is of-sight worthy the but statue
οὐκ ἐξειργάσθη τοῦ Διός, ἐπιλαβόντος τοῦ Πελοποννησίων
not was-completed — of-Zeus having-intervened the of-Peloponnesians
πολέμου πρὸς Ἀθηναίους, ἐν ᾧ καὶ ναυσὶν ἀνὰ πᾶν
war against Athenians in which also with-ships through every
ἔτος καὶ στρατῷ φθείροντες Μεγαρεῦσιν Ἀθηναῖοι τὴν
year and army ravaging for-Megarians Athenians the

χώραν τά τε κοινὰ ἐκάκωσαν καὶ ἰδίᾳ τοὺς οἴκους
land the both public-affairs ill-treated and privately the households
ἤγαγον ἐς τὸ ἔσχατον ἀσθενείας. τῷ δὲ ἀγάλματι τοῦ
brought to the extreme of-weakness for-the and statue —
Διὸς πρόσωπον ἐλέφαντος καὶ χρυσοῦ, τὰ δὲ λοιπὰ πηλοῦ
of-Zeus face of-ivory and gold the and rest of-clay
τέ ἐστι καὶ γύψου· ποιῆσαι δὲ αὐτὸ Θεόκοσμον λέγουσιν
both is and of-plaster to-have-made and it Theocosmus they-say
ἐπιχώριον, συνεργάσασθαι δέ οἱ Φειδίαν. ὑπὲρ δὲ τῆς
native to-have-worked-with and him Phidias above and the
κεφαλῆς τοῦ Διός εἰσιν Ὧραι καὶ Μοῖραι· δῆλα δὲ πᾶσι
head — of-Zeus are Seasons and Fates manifest and to-all
τὴν πεπρωμένην μόνῳ οἱ πείθεσθαι καὶ τὰς ὥρας τὸν
the destiny alone to-him to-be-obedient and the seasons the
θεὸν τοῦτον νέμειν ἐς τὸ δέον. ὄπισθε δὲ τοῦ ναοῦ
god this to-distribute to the needful behind and the temple
κεῖται ξύλα ἡμίεργα· ταῦτα ἔμελλεν ὁ Θεόκοσμος ἐλέφαντι
lie timbers half-worked these was-about — Theocosmus with-ivory
καὶ χρυσῷ κοσμήσας τὸ ἄγαλμα ἐκτελέσειν τοῦ Διός.
and gold having-adorned the statue to-be-going-to-complete — of-Zeus
ἐν δὲ αὐτῷ τῷ ναῷ τριήρους ἀνάκειται χαλκοῦν 40.5
in and itself the temple of-trireme is-dedicated of-bronze
ἔμβολον· ταύτην τὴν ναῦν λαβεῖν φασι περὶ Σαλαμῖνα
ram this the ship to-have-taken they-say off Salamis
ναυμαχήσαντες πρὸς Ἀθηναίους· ὁμολογοῦσι δὲ καὶ
having-fought-at-sea against Athenians agree and also
Ἀθηναῖοι χρόνον τινὰ Μεγαρεῦσιν ἀποστῆναι τῆς νήσου,
Athenians time some to-Megarians to-have-given-up the island
Σόλωνα δὲ ὕστερόν φασιν ἐλεγεῖα ποιήσαντα προτρέψαι
Solon and later they-say elegiacs having-composed to-have-urged
σφᾶς, καταστῆναι δὲ ἐπὶ τούτοις ἐς ἀμφισβήτησιν
them to-have-entered and on these into dispute

Ἀθηναῖοι, κρατήσαντες δὲ πολέμῳ Σαλαμῖνα αὖθις ἔχειν.
Athenians having-prevailed and in-war Salamis again to-hold
Μεγαρεῖς δὲ παρὰ σφῶν λέγουσιν ἄνδρας φυγάδας,
Megarians but from themselves say men exiles
οὓς Δορυκλείους ὀνομάζουσιν, ἀφικομένους παρὰ τοὺς ἐν
whom Dorycleans they-name having-come to the in
Σαλαμῖνι κληρούχους προδοῦναι Σαλαμῖνα Ἀθηναίοις.
Salamis cleruchs to-have-betrayed Salamis to-Athenians
40.6 μετὰ δὲ τοῦ Διὸς τὸ τέμενος ἐς τὴν ἀκρόπολιν
after and — of-Zeus the precinct to the acropolis
ἀνελθοῦσι καλουμένην ἀπὸ Καρὸς τοῦ Φορωνέως καὶ
for-those-having-gone-up called from Car the son-of-Phoroneus also
ἐς ἡμᾶς ἔτι Καρίαν, ἔστι μὲν Διονύσου ναὸς Νυκτελίου,
to us still Caria there-is indeed of-Dionysus temple Nyctelius
πεποίηται δὲ Ἀφροδίτης Ἐπιστροφίας ἱερὸν καὶ Νυκτὸς
is-made and of-Aphrodite Epistrophia sanctuary and of-Night
καλούμενόν ἐστι μαντεῖον καὶ Διὸς Κονίου ναὸς οὐκ ἔχων
called is oracle and of-Zeus Conius temple not having
ὄροφον. τοῦ δὲ Ἀσκληπιοῦ τὸ ἄγαλμα Βρύαξις καὶ αὐτὸ
roof — and of-Asclepius the statue Bryaxis both it
καὶ τὴν Ὑγείαν ἐποίησεν. ἐνταῦθα καὶ τῆς Δήμητρος
and — Hygieia made there also — of-Demeter
τὸ καλούμενον μέγαρον· ποιῆσαι δὲ αὐτὸ βασιλεύοντα
the called megaron to-have-made and it being-king
Κᾶρα ἔλεγον.
Car they-said

Alcmene's tomb, the Rhus, Hyllus' grave, and Isis' temple are followed by the sanctuary of Apollo and Artemis that Alcathous built after killing the Cithaeronian lion. Pausanias doubts the Megarian story of Timalcus and corrects their kings: Alcathous came from Elis after Nisus died. Next come Pandion's shrine, Hippolyte's shield-shaped tomb, and Tereus' grave, where the hoopoe first appeared. On the second citadel stand Megareus' tomb, the hearth of the Prodomeis, the stone that rings like a lyre, which recalls the singing colossus at Egyptian Thebes, and the temples of Athena, Apollo, and Demeter; Callipolis' death and Ino's shrine come last.

ἐκ δὲ τῆς ἀκροπόλεως κατιοῦσιν, ᾗ πρὸς ἄρκτον 41.1
from and the acropolis going-down where toward north
τέτραπται τὸ χωρίον, μνῆμά ἐστιν Ἀλκμήνης πλησίον
is-turned the place monument is of-Alcmene near
τοῦ Ὀλυμπιείου. βαδίζουσαν γὰρ ἐς Θήβας ἐξ Ἄργους
the Olympieum walking for to Thebes from Argos
τελευτῆσαι καθ' ὁδὸν λέγουσιν αὐτὴν ἐν τοῖς Μεγάροις,
to-have-died on road they-say her in — Megara
καὶ τοὺς Ἡρακλείδας ἐς ἀμφισβήτησιν ἐλθεῖν, τοὺς
and the Heraclidae into dispute to-have-come the(-ones)
μὲν ἐς Ἄργος ἐθέλοντας ὀπίσω κομίσαι τὸν νεκρὸν τῆς
indeed to Argos wishing back to-carry the corpse —
Ἀλκμήνης, τοὺς δ' αὐτῶν ἐς Θήβας· καὶ γὰρ τοῖς
of-Alcmene the(-others) and of-them to Thebes and for for-the
Ἡρακλέους παισὶ τοῖς ἐκ Μεγάρας τάφον εἶναι καὶ
of-Heracles children the(-ones) from Megara tomb to-be and
Ἀμφιτρύωνος ἐν Θήβαις. ὁ δὲ ἐν Δελφοῖς θεὸς ἔχρησε
of-Amphitryon in Thebes the but at Delphi god gave-oracle
θάψαι Ἀλκμήνην ἐν τοῖς Μεγάροις ἄμεινον εἶναί σφισιν.
to-bury Alcmene in — Megara better to-be for-them

41.2 ἐντεῦθεν ὁ τῶν ἐπιχωρίων ἡμῖν ἐξηγητὴς ἡγεῖτο ἐς χωρίον
from-here the of-the natives for-us guide led to place
Ῥοῦν ὡς ἔφασκεν ὀνομαζόμενον, ταύτῃ γὰρ ὕδωρ ποτὲ ἐκ
Rhus as he-said named here for water once from
τῶν ὀρῶν τῶν ὑπὲρ τὴν πόλιν ῥυῆναι· Θεαγένης δέ, ὃς
the mountains the above the city to-have-flowed Theagenes and who
τότε ἐτυράννει, τὸ ὕδωρ ἑτέρωσε τρέψας βωμὸν ἐνταῦθα
then was-tyrant the water elsewhere having-turned altar there
Ἀχελῴῳ ἐποίησε. καὶ Ὕλλου πλησίον τοῦ Ἡρακλέους μνῆμά
to-Achelous made and of-Hyllus near the son-of-Heracles monument
ἐστιν ἀνδρὶ Ἀρκάδι Ἐχέμῳ τῷ Ἀερόπου μονομαχήσαντος·
is with-man Arcadian Echemus the son-of-Aeropus having-fought-in-single-combat
καὶ ὅστις μὲν Ἔχεμος ὢν ἀπέκτεινεν Ὕλλον, ἑτέρωθι τοῦ
and who indeed Echemus being killed Hyllus elsewhere in-the
λόγου δηλώσω, τέθαπται δὲ καὶ Ὕλλος ἐν τοῖς Μεγάροις.
account I-will-make-clear is-buried and also Hyllus in — Megara
αὕτη καλοῖτο ἂν ὀρθῶς στρατεία τῶν Ἡρακλειδῶν ἐς
this would-be-called — rightly campaign of-the Heraclidae against
Πελοπόννησον ἐπὶ Ὀρέστου βασιλεύοντος.
Peloponnesus in-the-time-of Orestes being-king

41.3 οὐ πόρρω δὲ τοῦ Ὕλλου μνήματος Ἴσιδος ναὸς καὶ παρ᾽
not far and from-the of-Hyllus monument of-Isis temple and beside
αὐτὸν Ἀπόλλωνός ἐστι καὶ Ἀρτέμιδος· Ἀλκάθουν δέ φασι
it of-Apollo is and of-Artemis Alcathous and they-say
ποιῆσαι ἀποκτείναντα λέοντα τὸν καλούμενον Κιθαιρώνιον.
to-have-made having-killed lion the called Cithaeronian
ὑπὸ τούτου τοῦ λέοντος διαφθαρῆναι καὶ ἄλλους καὶ
by this the lion to-have-been-destroyed both others and
Μεγαρέως φασὶ τοῦ σφετέρου βασιλέως παῖδα Εὔιππον,
of-Megareus they-say the their-own king son Euippus
τὸν δὲ πρεσβύτερον τῶν παίδων αὐτῷ Τίμαλκον ἔτι
the and elder of-the sons for-him Timalcus still

πρότερον ἀποθανεῖν ὑπὸ Θησέως, στρατεύοντα ἐς Ἄφιδναν
before to-have-died by Theseus campaigning to Aphidna
σὺν τοῖς Διοσκούροις· Μεγαρέα δὲ γάμον τε ὑποσχέσθαι
with the Dioscuri Megareus and marriage both to-have-promised
θυγατρὸς καὶ ὡς διάδοχον ἕξει τῆς ἀρχῆς, ὅστις τὸν
of-daughter and that successor he-will-have of-the rule whoever the
Κιθαιρώνιον λέοντα ἀποκτείναι· διὰ ταῦτα Ἀλκάθουν
Cithaeronian lion should-kill because-of these-things Alcathous
τὸν Πέλοπος ἐπιχειρήσαντα τῷ θηρίῳ κρατῆσαί τε
the son-of-Pelops having-attacked the beast to-have-overcome both
καὶ ὡς ἐβασίλευσε τὸ ἱερὸν ποιῆσαι τοῦτο, Ἀγροτέραν
and when he-became-king the sanctuary to-have-made this Agrotera
Ἄρτεμιν καὶ Ἀπόλλωνα Ἀγραῖον ἐπονομάσαντα.
Artemis and Apollo Agraeus having-surnamed
ταῦτα μὲν οὕτω γενέσθαι λέγουσιν· ἐγὼ δὲ γράφειν 41.4
these-things indeed thus to-have-happened they-say I but to-write
μὲν ἐθέλω Μεγαρεῦσιν ὁμολογοῦντα, οὐκ ἔχω δὲ ὅπως
indeed wish with-Megarians agreeing not I-can but how
εὕρωμαι πάντα σφίσιν, ἀλλὰ ἀποθανεῖν μὲν λέοντα ἐν τῷ
I-may-find all with-them but to-have-been-killed indeed lion in the
Κιθαιρῶνι ὑπὸ Ἀλκάθου πείθομαι, Μεγαρέως δὲ Τίμαλκον
Cithaeron by Alcathous I-am-persuaded of-Megareus but Timalcus
παῖδα τίς μὲν ἐς Ἄφιδναν ἐλθεῖν μετὰ τῶν Διοσκούρων
son who indeed to Aphidna to-have-come with the Dioscuri
ἔγραψε; πῶς δ' ἂν ἀφικόμενος ἀναιρεθῆναι νομίζοιτο
wrote how and — having-arrived to-have-been-killed would-he-be-thought
ὑπὸ Θησέως, ὅπου καὶ Ἀλκμὰν ποιήσας ᾄσμα ἐς τοὺς
by Theseus when even Alcman having-composed song to the
Διοσκούρους, ὡς Ἀθήνας ἕλοιεν καὶ τὴν Θησέως ἀγάγοιεν
Dioscuri how Athens they-took and the of-Theseus led
μητέρα αἰχμάλωτον, ὅμως Θησέα φησὶν αὐτὸν ἀπεῖναι;
mother captive nevertheless Theseus says himself to-have-been-absent

41.5 Πίνδαρος δὲ τούτοις τε κατὰ ταὐτὰ ἐποίησε καὶ γαμβρὸν
Pindar and with-these both by the-same composed and son-in-law
τοῖς Διοσκούροις Θησέα εἶναι βουλόμενον ἁρπασθεῖσαν τὴν
for-the Dioscuri Theseus to-be wishing carried-off —
Ἑλένην διαφυλάξαι, ἐς ὃ ἀπελθεῖν αὐτὸν Πειρίθῳ τὸν
Helen to-have-guarded until — to-have-gone-away him to-Pirithous the
λεγόμενον γάμον συμπράξοντα. ὅστις δὲ ἐγενεαλόγησε,
said marriage going-to-help-bring-about whoever but traced-the-genealogy
δῆλον ὡς πολλὴν τοῖς Μεγαρεῦσι σύνοιδεν εὐήθειαν, εἴ
clear that much for-the Megarians shares simplicity if
γε Θησεὺς ἦν ἀπόγονος Πέλοπος· ἀλλὰ γὰρ τὸν ὄντα
indeed Theseus was descendant of-Pelops but for the true
λόγον οἱ Μεγαρεῖς εἰδότες ἐπικρύπτουσιν, οὐ βουλόμενοι
account the Megarians knowing conceal not wishing
δοκεῖν ἁλῶναί σφισιν ἐπὶ τῆς ἀρχῆς τῆς Νίσου τὴν
to-seem to-have-been-taken for-them in the rule the of-Nisus the
πόλιν, διαδέξασθαι δὲ τὴν βασιλείαν γαμβρὸν Νίσου τε
city to-have-succeeded and the kingship son-in-law of-Nisus both
Μεγαρέα καὶ αὖθις Ἀλκάθουν Μεγαρέως.
Megareus and again Alcathous of-Megareus

41.6 φαίνεται δὲ τελευτήσαντος Νίσου καὶ τῶν πραγμάτων
appears and having-died Nisus and the affairs
Μεγαρεῦσιν ἐφθαρμένων ὑπὸ τοῦτον Ἀλκάθους ἀφικόμενος
for-Megarians having-been-ruined at this Alcathous having-arrived
τὸν καιρὸν ἐξ Ἤλιδος· μαρτύριον δέ μοι· τὸ γὰρ
the time from Elis evidence and for-me the for
τεῖχος ᾠκοδόμησεν ἐξ ἀρχῆς ἅτε τοῦ περιβόλου
wall he-built from beginning inasmuch-as the circuit
τοῦ ἀρχαίου καθαιρεθέντος ὑπὸ τῶν Κρητῶν. Ἀλκάθου
the old having-been-pulled-down by the Cretans of-Alcathous
μὲν καὶ τοῦ λέοντος, εἴτε ἐν τῷ Κιθαιρῶνι αὐτὸν εἴτε
indeed and of-the lion whether in the Cithaeron it or

καὶ ἑτέρωθι ἀποκτείνας ναὸν Ἀγροτέρας Ἀρτέμιδος καὶ
also elsewhere having-killed temple of-Agrotera Artemis and
Ἀπόλλωνος ἐποίησεν Ἀγραίου, ἐς τοσόνδε ἔστω μνήμη·
of-Apollo made Agraeus to so-much let-there-be mention
ἐκ τούτου δὲ τοῦ ἱεροῦ κατιοῦσι Πανδίονός ἐστιν
from this and the sanctuary for-those-going-down of-Pandion is
ἡρῷον. καὶ ὅτι μὲν ἐτάφη Πανδίων ἐν Αἰθυίας Ἀθηνᾶς
hero-shrine and that indeed was-buried Pandion on of-Aethyia Athena
καλουμένῳ σκοπέλῳ, δεδήλωκεν ὁ λόγος ἤδη μοι· τιμὰς
called rock has-made-clear the account already for-me honors
δὲ καὶ ἐν τῇ πόλει παρὰ Μεγαρέων ἔχει.
but also in the city from Megarians he-has
πλησίον δέ ἐστι τοῦ Πανδίονος ἡρῴου μνῆμα Ἱππολύτης· 41.7
near and is the of-Pandion hero-shrine monument of-Hippolyte
γράψω δὲ καὶ τὰ ἐς αὐτὴν ὁποῖα Μεγαρεῖς λέγουσιν.
I-will-write and also the-things about her what-sort Megarians say
ὅτε Ἀμαζόνες ἐπ᾽ Ἀθηναίους στρατεύσασαι δι᾽ Ἀντιόπην
when Amazons against Athenians having-campaigned because-of Antiope
ἐκρατήθησαν ὑπὸ Θησέως, τὰς μὲν πολλὰς συνέβη
were-defeated by Theseus the indeed most it-happened
μαχομένας αὐτῶν ἀποθανεῖν, Ἱππολύτην δὲ ἀδελφὴν οὖσαν
fighting of-them to-have-died Hippolyte but sister being
Ἀντιόπης καὶ τότε ἡγουμένην τῶν γυναικῶν ἀποφυγεῖν σὺν
of-Antiope and then leading the women to-have-escaped with
ὀλίγαις ἐς Μέγαρα, ἅτε δὲ κακῶς οὕτω πράξασαν τῷ
few to Megara as and badly thus having-fared with-the
στρατῷ τοῖς τε παροῦσιν ἀθύμως ἔχουσαν καὶ περὶ τῆς
army at-the both present despondent being and about the
οἴκαδε ἐς τὴν Θεμίσκυραν σωτηρίας μᾶλλον ἔτι ἀποροῦσαν
homeward to — Themiscyra safety more still at-a-loss

ὑπὸ λύπης τελευτῆσαι· καὶ θάψαι αὐτὴν ἀποθανοῦσαν, καί
from grief to-have-died and to-have-buried her having-died and
οἱ τοῦ μνήματος σχῆμά ἐστιν Ἀμαζονικῇ ἀσπίδι ἐμφερές.
for-her of-the monument shape is to-Amazonian shield like
41.8 τούτου δέ ἐστιν οὐ πόρρω τάφος Τηρέως τοῦ Πρόκνην
of-this and is not far tomb of-Tereus the(-one) Procne
γήμαντος τὴν Πανδίονος. ἐβασίλευσε δὲ ὁ Τηρεύς,
having-married the daughter-of-Pandion was-king and — Tereus
ὡς μὲν λέγουσιν οἱ Μεγαρεῖς, περὶ τὰς Παγὰς τὰς
as indeed say the Megarians about — Pagae the
καλουμένας τῆς Μεγαρίδος, ὡς δὲ ἐγώ τε δοκῶ καὶ
called of-the Megarid as but I both think and
τεκμήρια ἐς τόδε λείπεται, Δαυλίδος ἦρχε τῆς ὑπὲρ
evidences to this are-left of-Daulis ruled the above
Χαιρωνείας· πάλαι γὰρ τῆς νῦν καλουμένης Ἑλλάδος
Chaeronea of-old for of-the now called Greece
βάρβαροι τὰ πολλὰ ᾤκησαν. ἐπεὶ δὲ ἦν καὶ Τηρεῖ τὰ
barbarians the most-part inhabited when and was also for-Tereus the-things
ἐς Φιλομήλαν ἐξειργασμένα καὶ τὰ περὶ τὸν Ἴτυν
toward Philomela having-been-done and the-things about — Itys
ὑπὸ τῶν γυναικῶν, ἑλεῖν σφᾶς ὁ Τηρεὺς οὐκ ἐδύνατο·
by the women to-catch them — Tereus not was-able
41.9 καὶ ὁ μὲν ἐτελεύτησεν ἐν τοῖς Μεγάροις αὐτοχειρίᾳ,
and the(-one) indeed died in — Megara by-his-own-hand
καί οἱ τάφον αὐτίκα ἔχωσαν καὶ θύουσιν ἀνὰ πᾶν ἔτος
and for-him tomb at-once heaped-up and sacrifice through every year
ψηφῖσιν ἐν τῇ θυσίᾳ ἀντὶ οὐλῶν χρώμενοι καὶ τὸν ἔποπα
with-pebbles in the sacrifice instead-of barley-grains using and the hoopoe
τὸν ὄρνιθα ἐνταῦθα φανῆναι πρῶτον λέγουσιν· αἱ δὲ
the bird there to-have-appeared first they-say the and
γυναῖκες ἐς μὲν Ἀθήνας ἀφίκοντο, θρηνοῦσαι δὲ οἷα ἔπαθον
women to indeed Athens came lamenting and what they-suffered

καὶ οἷα ἀντέδρασαν ὑπὸ δακρύων διαφθείρονται, καί σφισι
and what they-did-in-return by tears perish and for-them
τὴν ἐς ἀηδόνα καὶ χελιδόνα μεταβολὴν ἐπεφήμισαν ὅτι
the into nightingale and swallow change they-told because
οἶμαι καὶ αὗται αἱ ὄρνιθες ἐλεεινὸν καὶ θρήνῳ ὅμοιον ᾄδουσιν.
I-think also these the birds pitiful and to-lament like sing
ἔστι δὲ καὶ ἄλλη Μεγαρεῦσιν ἀκρόπολις ἀπὸ Ἀλκάθου τὸ 42.1
there-is and also another for-Megarians acropolis from Alcathous the
ὄνομα ἔχουσα· ἐς ταύτην τὴν ἀκρόπολιν ἀνιοῦσίν ἐστιν
name having to this the acropolis for-those-going-up is
ἐν δεξιᾷ Μεγαρέως μνῆμα, ὃς κατὰ τὴν ἐπιστρατείαν τῶν
on right of-Megareus monument who in the invasion of-the
Κρητῶν ξύμμαχός σφισιν ἦλθεν ἐξ Ὀγχηστοῦ. δείκνυται
Cretans ally to-them came from Onchestus is-shown
δὲ καὶ ἑστία θεῶν Προδομέων καλουμένων· θῦσαι
and also hearth of-gods Prodomeis called to-have-sacrificed
δέ σφισιν Ἀλκάθουν λέγουσι πρῶτον, ὅτε τῆς οἰκοδομίας
and to-them Alcathous they-say first when of-the building
τοῦ τείχους ἔμελλεν ἄρχεσθαι.
of-the wall he-was-about to-begin
τῆς δὲ ἑστίας ἐγγὺς ταύτης ἐστὶ λίθος, ἐφ᾽ οὗ καταθεῖναι 42.2
of-the and hearth near this is stone on which to-have-laid-down
λέγουσιν Ἀπόλλωνα τὴν κιθάραν Ἀλκάθῳ τὸ τεῖχος
they-say Apollo the lyre for-Alcathous the wall
συνεργαζόμενον. δηλοῖ τέ μοι καὶ τόδε ὡς συνετέλουν ἐς
working-with shows both to-me also this that contributed to
Ἀθηναίους Μεγαρεῖς· φαίνεται γὰρ τὴν θυγατέρα Ἀλκάθους
Athenians Megarians appears for the daughter Alcathous
Περίβοιαν ἅμα Θησεῖ πέμψαι κατὰ τὸν δασμὸν ἐς
Periboea with Theseus to-have-sent in-accordance-with the tribute to
Κρήτην. τότε δὲ αὐτῷ τειχίζοντι, ὥς φασιν οἱ Μεγαρεῖς,
Crete then and for-him walling as say the Megarians

συνεργάζεταί τε Ἀπόλλων καὶ τὴν κιθάραν κατέθηκεν ἐπὶ
works-with both Apollo and the lyre laid-down on
τὸν λίθον· ἢν δὲ τύχῃ βαλών τις ψηφῖδι, κατὰ
the stone if and should-happen having-struck some-one with-pebble by
ταὐτὰ οὗτός τε ἤχησε καὶ κιθάρα κρουσθεῖσα.
the-same this both sounds and lyre struck

42.3 ἐμοὶ δὲ παρέσχε μὲν καὶ τοῦτο θαυμάσαι, παρέσχε δὲ πολλῷ
to-me and caused indeed also this to-wonder caused but by-much
μάλιστα Αἰγυπτίων ὁ κολοσσός. ἐν Θήβαις ταῖς Αἰγυπτίαις,
most of-Egyptians the colossus in Thebes the Egyptian
διαβᾶσι τὸν Νεῖλον πρὸς τὰς Σύριγγας καλουμένας,
for-those-having-crossed the Nile toward the Syringes called
εἶδον ἔτι καθήμενον ἄγαλμα ἠχοῦν — Μέμνονα ὀνομάζουσιν
I-saw still seated statue sounding Memnon name
οἱ πολλοί, τοῦτον γάρ φασιν ἐξ Αἰθιοπίας ὁρμηθῆναι ἐς
the many this-one for they-say from Ethiopia to-have-set-out to
Αἴγυπτον καὶ τὴν ἄχρι Σούσων· ἀλλὰ γὰρ οὐ Μέμνονα
Egypt and the(-one) as-far-as Susa but for not Memnon
οἱ Θηβαῖοι λέγουσι, Φαμένωφα δὲ εἶναι τῶν ἐγχωρίων οὗ
the Thebans say Phamenophis but to-be of-the natives of-whom
τοῦτο ἄγαλμα ἦν, ἤκουσα δὲ ἤδη καὶ Σέσωστριν φαμένων
this statue was I-heard and already also Sesostris saying
εἶναι—, ὃ Καμβύσης διέκοψε· καὶ νῦν ὁπόσον ἐκ κεφαλῆς
to-be which Cambyses cut-through and now as-much-as from head
ἐς μέσον σῶμά ἐστιν ἀπερριμμένον, τὸ δὲ λοιπὸν κάθηταί
to middle body is thrown-off the and rest sits
τε καὶ ἀνὰ πᾶσαν ἡμέραν ἀνίσχοντος ἡλίου βοᾷ, καὶ τὸν
both and through every day rising sun cries-out and the
ἦχον μάλιστα εἰκάσει τις κιθάρας ἢ λύρας ῥαγείσης χορδῆς.
sound most will-liken one of-cithara or of-lyre having-snapped string

Μεγαρεῦσι δὲ ἔστι μὲν βουλευτήριον, Τιμάλκου δὲ ἦν 42.4
for-Megarians and is indeed council-house of-Timalcus and was
ποτε ὡς λέγουσι τάφος, ὃν πρότερον ὀλίγον τούτων
once as they-say tomb whom before a-little than-these
οὐκ ἔφην ὑπὸ Θησέως ἀποθανεῖν. ὠκοδόμηται δὲ ἐπὶ
not I-said by Theseus to-have-died has-been-built and on
τῇ κορυφῇ τῆς ἀκροπόλεως ναὸς Ἀθηνᾶς, ἄγαλμα δέ
the summit of-the acropolis temple of-Athena statue and
ἐστιν ἐπίχρυσον πλὴν χειρῶν καὶ ἄκρων ποδῶν· ταῦτα
is gilded except hands and tips of-feet these
δὲ καὶ τὸ πρόσωπόν ἐστιν ἐλέφαντος. καὶ ἕτερον
and also the face is of-ivory and another
ἐνταῦθα ἱερὸν Ἀθηνᾶς πεποίηται καλουμένης Νίκης
there sanctuary of-Athena is-made called Victory
καὶ ἄλλο Αἰαντίδος· τὰ δὲ ἐς αὐτὸ Μεγαρέων
and another of-Aiantis the-things and about it of-Megarians
μὲν παρεῖται τοῖς ἐξηγηταῖς, ἐγὼ δὲ ὁποῖα νομίζω
indeed has-been-passed-over by-the guides I but what-sort I-think
γενέσθαι γράψω. Τελαμὼν ὁ Αἰακοῦ θυγατρὶ Ἀλκάθου
to-have-happened will-write Telamon the son-of-Aeacus daughter of-Alcathous
Περιβοίᾳ συνῴκησεν· Αἴαντα οὖν τὴν ἀρχὴν τὴν Ἀλκάθου
Periboea married Ajax then the rule the of-Alcathous
διαδεξάμενον ποιῆσαι τὸ ἄγαλμα ἡγοῦμαι τῆς Ἀθηνᾶς.
having-succeeded-to to-have-made the statue I-think — of-Athena
τοῦ δὲ Ἀπόλλωνος πλίνθου μὲν ἦν ὁ ἀρχαῖος ναός· 42.5
— and of-Apollo of-brick indeed was the old temple
ὕστερον δὲ βασιλεὺς ὠκοδόμησεν Ἀδριανὸς λίθου λευκοῦ.
later and emperor built Hadrian of-stone white
ὁ μὲν δὴ Πύθιος καλούμενος καὶ ὁ Δεκατηφόρος τοῖς
the indeed indeed Pythian called and the Decatephorus to-the
Αἰγυπτίοις μάλιστα ἐοίκασι ξοάνοις, ὃν δὲ Ἀρχηγέτην
Egyptian most are-like wooden-images whom and Archegetes

ἐπονομάζουσιν, Αἰγινητικοῖς ἔργοις ἐστὶν ὅμοιος· ἐβένου
they-surname to-Aeginetan works is like of-ebony
δὲ πάντα ὁμοίως πεποίηται. ἤκουσα δὲ ἀνδρὸς Κυπρίου
and all alike is-made I-heard and of-man Cyprian
διακρῖναι πόας ἐς ἀνθρώπων ἴασιν εἰδότος, ὃς τὴν ἔβενον
to-distinguish herbs for of-men healing knowing who the ebony
φύλλα οὐκ ἔφη φύειν οὐδὲ εἶναι καρπὸν οὐδένα ἀπ᾽
leaves not he-said to-grow nor to-be fruit any from
αὐτῆς οὐδὲ ὁρᾶσθαι τὸ παράπαν αὐτὴν ὑπὸ ἡλίου, ῥίζας
it nor to-be-seen at all it by sun roots
δὲ ὑπογαίους εἶναι, ταύτας δὲ ὀρύσσειν τοὺς Αἰθίοπας
but underground to-be these and to-dig the Ethiopians
καὶ ἄνδρας εἶναί σφισιν οἳ τὴν ἔβενον ἴσασιν εὑρίσκειν.
and men to-be for-them who the ebony know to-find
42.6 ἔστι δὲ καὶ Δήμητρος ἱερὸν Θεσμοφόρου. κατιοῦσι
there-is and also of-Demeter sanctuary Thesmophorus for-those-going-down
δὲ ἐντεῦθεν Καλλιπόλιδος μνῆμά ἐστιν Ἀλκάθου παιδός.
and from-here of-Callipolis monument is of-Alcathous son
ἐγένετο δὲ καὶ ἄλλος Ἀλκάθῳ πρεσβύτερος υἱὸς Ἰσχέπολις,
was-born and also another to-Alcathous elder son Ischepolis
ὃν ἀπέστειλεν ὁ πατὴρ Μελεάγρῳ τὸ ἐν Αἰτωλίᾳ
whom sent the father with-Meleager the in Aetolia
θηρίον συνεξαιρήσοντα. ἀποθανόντος δὲ ἐνταῦθα πρῶτος
beast going-to-help-destroy having-died and there first
τεθνεῶτα ἐπύθετο ὁ Καλλίπολις, ἀναδραμὼν δὲ ἐς τὴν
dead learned — Callipolis having-run-up and to the
ἀκρόπολιν — τηνικαῦτα δὲ ὁ πατήρ οἱ τῷ Ἀπόλλωνι
acropolis at-that-time and the father his — to-Apollo
ἐνέκαεν — ἀπορρίπτει τὰ ξύλα ἀπὸ τοῦ βωμοῦ·
altar is-made beside and it is of-Hephaestus — and
Ἡφαίστου τὸν βωμόν εἰσιν Ἠλείων οἳ ὀνομάζουσιν Ἀρείου
of-Hephaestus the altar there-are of-Eleans who name of-Areius
Διός· λέγουσι δὲ οἱ αὐτοὶ οὗτοι καὶ ὡς Οἰνόμαος ἐπὶ τοῦ
Zeus say and the same these also that Oenomaus on the
βωμοῦ τούτου θύοι τῷ Ἀρείῳ Διί, ὁπότε τῶν Ἱπποδαμείας
altar this sacrificed to-the Areius Zeus whenever of-the of-Hippodameia
μνηστήρων καθίστασθαι μέλλοι τινὶ ἐς ἵππων ἅμιλλαν.
suitors to-enter he-was-about with-one into of-horses race
μετὰ τοῦτον πεποίηται μὲν Ἡρακλεῖ βωμὸς ἐπίκλησιν 14.7
after this is-made indeed for-Heracles altar by-surname
Παραστάτῃ, πεποίηται δὲ καὶ τοῦ Ἡρακλέους τοῖς
Parastates is-made and also — of-Heracles for-the

ἀδελφοῖς Ἐπιμήδει καὶ Ἴδᾳ καὶ Παιωναίῳ τε καὶ Ἰάσῳ·
brothers Epimedes and Idas and Paeonaeus both and Iasus
τὸν δὲ τοῦ Ἴδα βωμὸν Ἀκεσίδα ὑπὸ ἑτέρων οἶδα
the and — of-Idas altar Acesidas by others I-know
καλούμενον. ἔνθα δὲ τῆς οἰκίας τὰ θεμέλιά ἐστι τῆς
called where and of-the house the foundations are the
Οἰνομάου, δύο ἐνταῦθά εἰσι βωμοί, Διός τε Ἑρκείου —
of-Oenomaus two there are altars of-Zeus both Herceius
τοῦτον ὁ Οἰνόμαος ἐφαίνετο αὐτὸς οἰκοδομήσασθαι—, τῷ
this — Oenomaus appeared himself to-have-built to-the
δὲ Κεραυνίῳ Διὶ ὕστερον ἐποιήσαντο ἐμοὶ δοκεῖν βωμόν,
and Thunderbolt Zeus later made to-me to-seem altar
ὅτ' ἐς τοῦ Οἰνομάου τὴν οἰκίαν κατέσκηψεν ὁ κεραυνός.
when into — of-Oenomaus the house struck the thunderbolt
14.8 τὰ δὲ ἐς τὸν μέγαν βωμὸν ὀλίγῳ μέν τι
the-things and about the great altar by-little indeed somewhat
ἡμῖν πρότερόν ἐστιν εἰρημένα, καλεῖται δὲ Ὀλυμπίου
by-us before is said is-called and of-Olympian
Διός· πρὸς αὐτῷ δέ ἐστιν Ἀγνώστων θεῶν βωμὸς καὶ
Zeus by it and is of-Unknown gods altar and
μετὰ τοῦτον Καθαρσίου Διὸς καὶ Νίκης καὶ αὖθις Διὸς
after this of-Purifier Zeus and of-Victory and again of-Zeus
ἐπωνυμίαν Χθονίου. εἰσὶ δὲ καὶ θεῶν πάντων βωμοὶ
by-surname Chthonius there-are and also of-gods all altars
καὶ Ἥρας ἐπίκλησιν Ὀλυμπίας, πεποιημένος τέφρας καὶ
and of-Hera by-surname Olympian made of-ash also
οὗτος· Κλυμένου δέ φασιν αὐτὸν ἀνάθημα εἶναι. μετὰ
this of-Clymenus and they-say it offering to-be after
δὲ τοῦτον Ἀπόλλωνος καὶ Ἑρμοῦ βωμός ἐστιν ἐν κοινῷ,
and this of-Apollo and of-Hermes altar is in common

διότι Ἑρμῆν λύρας, Ἀπόλλωνα δὲ εὑρέτην εἶναι κιθάρας
because Hermes of-lyre Apollo and inventor to-be of-cithara
Ἑλλήνων ἐστὶν ἐς αὐτοὺς λόγος.
of-Greeks is about them story
ἐφεξῆς δὲ Ὁμονοίας βωμὸς καὶ αὖθις Ἀθηνᾶς, ὁ δὲ 14.9
next and of-Concord altar and again of-Athena the and
Μητρὸς θεῶν. τῆς ἐσόδου δὲ τῆς ἐς τὸ στάδιόν εἰσιν
of-Mother of-gods of-the entrance and the to the stadium are
ἐγγύτατα βωμοὶ δύο· τὸν μὲν αὐτῶν Ἑρμοῦ καλοῦσιν
nearest altars two the(-one) indeed of-them of-Hermes they-call
Ἐναγωνίου, τὸν δὲ ἕτερον Καιροῦ. Ἴωνι δὲ οἶδα τῷ
Enagonius the and other of-Opportunity by-Ion and I-know the
Χίῳ καὶ ὕμνον πεποιημένον Καιροῦ· γενεαλογεῖ δὲ ἐν
Chian also hymn composed of-Opportunity traces-descent and in
τῷ ὕμνῳ νεώτατον παίδων Διὸς Καιρὸν εἶναι. πλησίον
the hymn youngest of-children of-Zeus Opportunity to-be near
δὲ τοῦ Σικυωνίων θησαυροῦ ἤτοι Κουρήτων ἢ τοῦ
and the of-Sicyonians treasury either of-Curetes or —
Ἀλκμήνης ἐστὶν Ἡρακλέους· λέγεται γὰρ καὶ ἀμφότερα.
of-Alcmene is of-Heracles is-said for also both
ἐπὶ δὲ τῷ Γαίῳ καλουμένῳ, βωμός ἐστιν ἐπ᾽ αὐτῷ 14.10
at and the Gaeum called altar is on it
Γῆς, τέφρας καὶ οὗτος· τὰ δὲ ἔτι ἀρχαιότερα καὶ
of-Earth of-ash also this the-things and still more-ancient also
μαντεῖον τῆς Γῆς αὐτόθι εἶναι λέγουσιν. ἐπὶ δὲ τοῦ
oracle — of-Earth there to-be they-say at and the
ὀνομαζομένου Στομίου Θέμιδι ὁ βωμὸς πεποίηται. τοῦ
named Stomium for-Themis the altar is-made —
δὲ Καταιβάτου Διὸς προβέβληται μὲν πανταχόθεν πρὸ
and of-Cataebates Zeus is-set-before indeed on-every-side before
τοῦ βωμοῦ φράγμα, ἔστι δὲ πρὸς τῷ βωμῷ τῷ ἀπὸ τῆς
the altar fence it-is and by the altar the of the

τέφρας τῷ μεγάλῳ. μεμνήσθω δέ τις οὐ κατὰ στοῖχον
ash the great let-remember and one not in row
τῆς ἱδρύσεως ἀριθμουμένους τοὺς βωμούς, τῇ δὲ τάξει
of-the founding counted the altars in-the but order
τῇ Ἠλείων ἐς τὰς θυσίας συμπερινοστοῦντα ἡμῖν τὸν
the of-Eleans for the sacrifices going-round with-us the
λόγον. πρὸς δὲ τῷ τεμένει τοῦ Πέλοπος Διονύσου μὲν
account by and the precinct — of-Pelops of-Dionysus indeed
καὶ Χαρίτων ἐν κοινῷ, μεταξὺ δὲ αὐτῶν Μουσῶν καὶ
and of-Graces in common between and them of-Muses and
ἐφεξῆς τούτων Νυμφῶν ἐστι βωμός.
next these of-Nymphs is altar

IX · THE MONTHLY SACRIFICES AND THE HERAEA

Phidias' workshop and the Leonidaeum, now the Roman governors' lodging, stand outside the Altis. Pausanias continues the altars, among them Aphrodite, the Seasons, the Fates, the Dioscuri, Pan, and Artemis Agrotera. Every month the Eleans sacrifice on all of them in an ancient manner, with incense and wheat kneaded with honey, and pour libations also to Ammon of Libya. The Heraeum is said to be the Scilluntians' work; every fourth year sixteen women weave Hera's robe there and hold the Heraea, a race for maidens, traced to Hippodameia; Chloris, Amphion's surviving daughter, once won. Another story has the sixteen first chosen to make peace with the Pisaeans after the tyrant Damophon died; they keep choruses of Hippodameia and of Physcoa, Dionysus' consort, and are purified at the spring Piera.

15.1 ἔστι δὲ οἴκημα ἐκτὸς τῆς Ἄλτεως, καλεῖται δὲ
there-is and building outside the Altis is-called and
ἐργαστήριον Φειδίου, καὶ ὁ Φειδίας καθ' ἕκαστον τοῦ
workshop of-Phidias and — Phidias by each-part of-the
ἀγάλματος ἐνταῦθα εἰργάζετο· ἔστιν οὖν βωμὸς ἐν τῷ
statue there worked is then altar in the

οἰκήματι θεοῖς πᾶσιν ἐν κοινῷ. ὀπίσω δὲ ἀναστρέψαντι
building for-gods all in common back and to-one-having-turned
αὖθις ἐς τὴν Ἄλτιν ἐστὶν ἀπαντικρὺ τοῦ Λεωνιδαίου —
again into the Altis it-is opposite the Leonidaeum
τὸ δὲ ἐκτὸς μὲν τοῦ περιβόλου τοῦ ἱεροῦ τὸ Λεωνίδαιον, 15.2
the and outside indeed the circuit of-the sanctuary the Leonidaeum
τῶν δὲ ἐσόδων πεποίηται τῶν ἐς τὴν Ἄλτιν κατὰ
of-the and entrances it-is-made of-those into the Altis by
τὴν πομπικήν, ἣ μόνη τοῖς πομπεύουσίν ἐστιν ὁδός·
the processional which alone for-the in-procession is way
τοῦτο δὲ ἀνδρὸς μὲν τῶν ἐπιχωρίων ἐστὶν ἀνάθημα
this and of-man indeed of-the natives is offering
Λεωνίδου, κατ᾽ ἐμὲ δὲ ἐς αὐτὸ Ῥωμαίων ἐσῳκίζοντο
of-Leonidas in my-time but into it of-Romans settled
οἱ τὴν Ἑλλάδα ἐπιτροπεύοντες· διέστηκε δὲ ἀγυιὰν ἀπὸ
those — Greece governing is-separated and by-a-street from
τῆς ἐσόδου τῆς πομπικῆς, τοὺς γὰρ δὴ ὑπὸ Ἀθηναίων
the entrance the processional the for indeed by Athenians
καλουμένους στενωποὺς ἀγυιὰς ὀνομάζουσιν οἱ Ἠλεῖοι —
called lanes streets name the Eleans
ἔστι δὲ ἐν τῇ Ἄλτει τοῦ Λεωνιδαίου περᾶν μέλλοντι ἐς 15.3
there-is and in the Altis the Leonidaeum to-cross for-one-about to
ἀριστερὰν Ἀφροδίτης βωμὸς καὶ Ὡρῶν μετ᾽ αὐτόν. κατὰ δὲ
left of-Aphrodite altar and of-Seasons after it by and
τὸν ὀπισθόδομον μάλιστά ἐστιν ἐν δεξιᾷ πεφυκὼς κότινος·
the back-chamber about is on right growing wild-olive
καλεῖται δὲ ἐλαία Καλλιστέφανος, καὶ τοῖς νικῶσι τὰ
is-called and olive Fair-Crown and for-the victors-in the
Ὀλύμπια καθέστηκεν ἀπ᾽ αὐτῆς δίδοσθαι τοὺς στεφάνους.
Olympic-games it-is-established from it to-be-given the crowns
τούτου πλησίον τοῦ κοτίνου πεποίηται Νύμφαις βωμός·
this near the wild-olive is-made for-Nymphs altar

15.4 Καλλιστεφάνους ὀνομάζουσι καὶ ταύτας. ἔστι δὲ ἐκτὸς
Fair-Crowned they-name also these there-is and outside
τῆς Ἄλτεως μὲν Ἀρτέμιδος Ἀγοραίας βωμός, ἐν δεξιᾷ δὲ
the Altis indeed of-Artemis Agoraea altar on right and
τοῦ Λεωνιδαίου, πεποίηται δὲ καὶ Δεσποίναις — τὰ
of-the Leonidaeum is-made and also for-Mistresses the-things
δὲ ἐς τὴν θεὸν ἥντινα ὀνομάζουσι Δέσποιναν διδάξει
and about the goddess whom they-name Mistress will-teach
μοι τοῦ λόγου τὰ ἐς Ἀρκάδας—, μετὰ δὲ τοῦτον
my of-the account the-parts about Arcadians after and this
ἔστιν Ἀγοραίου Διὸς βωμός, πρὸ δὲ τῆς καλουμένης
is of-Agoraeus Zeus altar before and the called
Προεδρίας Ἀπόλλωνος ἐπωνυμίαν Πυθίου καὶ μετ᾽ αὐτὸν
Proedria of-Apollo by-surname Pythius and after it
Διονύσου· τοῦτον οὔτε πάλαι τὸν βωμὸν καὶ ὑπὸ ἀνδρῶν
of-Dionysus this neither long-ago the altar and by men
ἰδιωτῶν ἀνατεθῆναι λέγουσιν.
private to-have-been-dedicated they-say

15.5 ἰόντι δὲ ἐπὶ τὴν ἄφεσιν τῶν ἵππων ἔστι βωμός,
to-one-going and to the starting-place of-the horses there-is altar
ἐπίγραμμα δὲ ἐπ᾽ αὐτῷ Μοιραγέτα· δῆλα οὖν ἐστιν
inscription and on it Moeragetas manifest then it-is
ἐπίκλησιν εἶναι Διὸς ὃς τὰ ἀνθρώπων οἶδεν, ὅσα
surname to-be of-Zeus who the-things of-men knows as-much-as
διδόασιν αἱ Μοῖραι καὶ ὅσα μὴ πέπρωταί σφισι.
give the Fates and as-much-as not is-destined for-them
πλησίον δὲ καὶ Μοιρῶν βωμός ἐστιν ἐπιμήκης, μετὰ δὲ
near and also of-Fates altar is oblong after and
αὐτὸν Ἑρμοῦ καὶ δύο ἐφεξῆς Διὸς Ὑψίστου· ἐν δὲ τῶν
it of-Hermes and two next of-Zeus Highest in and of-the
ἵππων τῇ ἀφέσει ἐν μὲν τῷ ὑπαίθρῳ, τῆς ἀφέσεως
horses the starting-place in indeed the open-air of-the starting-place

κατὰ μέσον που μάλιστα, Ποσειδῶνος Ἱππίου καὶ
at middle somewhere about of-Poseidon Hippius and
Ἥρας εἰσὶν Ἱππίας βωμοί, πρὸς δὲ τῷ κίονι Διοσκούρων.
of-Hera are Hippia altars by and the column of-Dioscuri
τῆς δὲ πρὸς τὸν Ἔμβολον καλούμενον ἐσόδου τῇ 15.6
of-the and to the Embolus called entrance on-one-side
μὲν Ἄρεως Ἱππίου, τῇ δὲ Ἀθηνᾶς Ἱππίας βωμός,
indeed of-Ares Hippius on-the(-other) and of-Athena Hippia altar
ἐς δὲ αὐτὸν τὸν Ἔμβολον ἐσελθόντων Τύχης ἐστὶν
into and itself the Embolus for-those-having-entered of-Fortune is
ἀγαθῆς βωμὸς καὶ Πανός τε καὶ Ἀφροδίτης, ἐνδοτάτω
good altar and of-Pan both and of-Aphrodite innermost
δὲ τοῦ Ἐμβόλου Νυμφῶν ἃς Ἀκμηνὰς καλοῦσιν. ἀπὸ
and of-the Embolus of-Nymphs whom Acmenae they-call from
δὲ τῆς στοᾶς ἣν οἱ Ἠλεῖοι καλοῦσιν Ἀγνάπτου, τὸν
and the colonnade which the Eleans call of-Agnaptus the
ἀρχιτέκτονα ἐπονομάζοντες τῷ οἰκοδομήματι, ἀπὸ ταύτης
architect naming-after the building from this
ἐπανιόντι ἐστὶν ἐν δεξιᾷ βωμὸς Ἀρτέμιδος.
to-one-returning is on right altar of-Artemis
ἐσελθόντων δὲ αὖθις διὰ τῆς πομπικῆς ἐς τὴν Ἄλτιν, 15.7
for-those-having-entered and again through the processional into the Altis
εἰσὶν ὄπισθεν τοῦ Ἡραίου Κλαδέου τε τοῦ ποταμοῦ καὶ
are behind the Heraeum of-Cladeus both the river and
Ἀρτέμιδος βωμοί, ὁ δὲ μετ᾽ αὐτοὺς Ἀπόλλωνος, τέταρτος
of-Artemis altars the and after them of-Apollo fourth
δὲ Ἀρτέμιδος ἐπίκλησιν Κοκκώκας, καὶ Ἀπόλλωνος
and of-Artemis by-surname Coccoca and of-Apollo
πέμπτος Θερμίου. τὸν μὲν δὴ παρὰ Ἠλείοις Θέρμιον καὶ
fifth Thermius the indeed indeed among Eleans Thermius also
αὐτῷ μοι παρίστατο εἰκάζειν ὡς κατὰ Ἀτθίδα γλῶσσαν
myself to-me it-occurred to-conjecture that in Attic tongue

εἴη θέσμιος· ἀνθ' ὅτου δὲ Ἄρτεμιν ἐπονομάζουσι
it-would-be Thesmius for what and Artemis they-surname
Κοκκώκαν, οὐχ οἷά τε ἦν μοι διδαχθῆναι.
Coccoca not possible — was for-me to-be-taught

15.8 ἔστι δὲ πρὸ τοῦ καλουμένου Θεηκολεῶνος οἴκημα· τούτου
there-is and before the called Theecoleon building of-this
δὲ ἐν γωνίᾳ τοῦ οἰκήματος Πανὸς ἵδρυται βωμός. τὸ
and in corner of-the building of-Pan is-founded altar the
πρυτανεῖον δὲ Ἠλείοις ἔστι μὲν τῆς Ἄλτεως ἐντός,
prytaneum and for-Eleans is indeed the Altis within
πεποίηται δὲ παρὰ τὴν ἔξοδον ἥ ἐστι τοῦ γυμνασίου
is-made but by the exit which is the gymnasium
πέραν· ἐν τούτῳ δὲ οἵ τε δρόμοι τῷ γυμνασίῳ καὶ
beyond in this and the both running-tracks for-the gymnasium and
τοῖς ἀθληταῖς εἰσιν αἱ παλαῖστραι. τοῦ πρυτανείου δὲ
for-the athletes are the wrestling-schools of-the prytaneum and
πρὸ μὲν τῶν θυρῶν βωμός ἐστιν Ἀρτέμιδος Ἀγροτέρας·
before indeed the doors altar is of-Artemis Agrotera

15.9 ἐν δὲ αὐτῷ τῷ πρυτανείῳ παριόντων ἐς τὸ οἴκημα, ἔνθα
in and itself the prytaneum for-those-passing into the room where
σφίσιν ἡ ἑστία, Πανός ἐστιν ἐν δεξιᾷ τῆς ἐσόδου βωμός.
for-them the hearth of-Pan is on right of-the entrance altar
ἔστι δὲ ἡ ἑστία τέφρας καὶ αὕτη πεποιημένη, καὶ ἐπ'
is and the hearth of-ash also this made and on
αὐτῆς πῦρ ἀνὰ πᾶσάν τε ἡμέραν καὶ ἐν πάσῃ νυκτὶ
it fire through every both day and in every night
ὡσαύτως καίεται· ἀπὸ ταύτης τῆς ἑστίας τὴν τέφραν
likewise burns from this the hearth the ash
κατὰ τὰ εἰρημένα ἤδη μοι κομίζουσιν ἐπὶ τὸν
in-accordance-with the-things said already by-me they-carry to the

τοῦ Ὀλυμπίου βωμόν, καὶ οὐχ ἥκιστα ἐς μέγεθος συντελεῖ
of-the Olympian altar and not least for size contributes
τῷ βωμῷ τὸ ἀπὸ τῆς ἑστίας ἐπιφορούμενον.
to-the altar the-matter from the hearth carried-on
ἑκάστου δὲ ἅπαξ τοῦ μηνὸς θύουσιν ἐπὶ πάντων Ἠλείοι 15.10
of-each and once the month they-sacrifice on all Eleans
τῶν κατειλεγμένων βωμῶν. θύουσι δὲ ἀρχαῖόν τινα
of-the listed altars they-sacrifice and in-ancient some
τρόπον· λιβανωτὸν γὰρ ὁμοῦ πυροῖς μεμαγμένοις
manner frankincense for together-with wheat kneaded
μέλιτι θυμιῶσιν ἐπὶ τῶν βωμῶν, τιθέασι δὲ καὶ κλῶνας
with-honey they-burn on the altars they-place and also sprays
ἐλαίας ἐπ᾽ αὐτῶν καὶ οἴνῳ χρῶνται σπονδῇ. μόναις δὲ
of-olive on them and wine use in-libation only and
ταῖς Νύμφαις οὐ νομίζουσιν οἶνον οὐδὲ ταῖς Δεσποίναις
to-the Nymphs not they-are-wont wine nor to-the Mistresses
σπένδειν οὐδὲ ἐπὶ τῷ βωμῷ τῷ κοινῷ πάντων θεῶν.
to-pour nor on the altar the common of-all gods
μέλει δὲ τὰ ἐς θυσίας θεηκόλῳ τε, ὃς ἐπὶ μηνὶ
is-a-care and the-things for sacrifices to-theecolus both who for month
ἑκάστῳ τὴν τιμὴν ἔχει, καὶ μάντεσι καὶ σπονδοφόροις,
each the office holds and to-seers and to-libation-bearers
ἔτι δὲ ἐξηγητῇ τε καὶ αὐλητῇ καὶ τῷ ξυλεῖ·
further and to-guide both and to-flute-player and to-the woodman
ὁπόσα δὲ ἐπὶ ταῖς σπονδαῖς λέγειν σφίσιν ἐν τῷ πρυτανείῳ 15.11
as-many-as and at the libations to-say for-them in the prytaneum
καθέστηκεν, ἢ καὶ ὕμνους ὁποίους ᾄδουσιν, οὔ με ἦν εἰκὸς
is-established or also hymns what-sort they-sing not for-me was fitting
ἐπεισαγαγέσθαι καὶ ταῦτα ἐς τὸν λόγον. θεοῖς δὲ οὐ τοῖς
to-bring-in also these into the account to-gods and not the
Ἕλληνικοῖς μόνον ἀλλὰ καὶ τῷ ἐν Λιβύῃ σπένδουσι
Greek only but also to-the(-one) in Libya they-pour-libation

καὶ Ἥρᾳ τε Ἀμμωνίᾳ καὶ Παράμμωνι· Ἑρμοῦ δὲ
and to-Hera both Ammonia and to-Parammon of-Hermes and
ἐπίκλησίς ἐστιν ὁ Παράμμων. φαίνονται δὲ χρώμενοι ἐκ
surname is — Parammon they-appear and using from
παλαιοτάτου τῷ ἐν Λιβύῃ μαντείῳ, καὶ ἀναθήματα Ἠλείων
most-ancient-times the in Libya oracle and offerings of-Eleans
ἐν Ἄμμωνός εἰσι βωμοί· γέγραπται δὲ ἐπ᾽ αὐτῶν ὅσα
in Ammon's are altars is-written and on them as-many-as
τε ἐπυνθάνοντο οἱ Ἠλεῖοι καὶ τὰ χρησθέντα ὑπὸ τοῦ
both inquired the Eleans and the-things answered by the
θεοῦ καὶ τὰ ὀνόματα τῶν ἀνδρῶν οἳ παρὰ τὸν Ἄμμωνα
god and the names of-the men who to — Ammon
ἦλθον ἐξ Ἤλιδος. ταῦτα μὲν δή ἐστιν ἐν Ἄμμωνος·
went from Elis these-things indeed indeed are in of-Ammon's
15.12 Ἠλεῖοι δὲ καὶ ἥρωσι καὶ γυναιξὶ σπένδουσιν ἡρώων,
Eleans and also to-heroes and to-women pour-libation of-heroes
ὅσοι τε ἐν τῇ χώρᾳ τῇ Ἠλείᾳ καὶ ὅσοι παρὰ
as-many-as both in the land the Elean and as-many-as among
Αἰτωλοῖς τιμὰς ἔχουσιν. ὁπόσα δὲ ᾄδουσιν ἐν τῷ
Aetolians honors have as-many-as and they-sing in the
πρυτανείῳ, φωνὴ μέν ἐστιν αὐτῶν ἡ Δώριος, ὅστις
prytaneum dialect indeed is of-them the Doric who
δὲ ὁ ποιήσας ἦν τὰ ᾄσματα, οὐ λέγουσιν. ἔστι δὲ
and the having-composed was the songs not they-say there-is and
καὶ ἑστιατόριον Ἠλείοις· καὶ τοῦτο ἔστι μὲν ἐντὸς τοῦ
also banqueting-hall for-Eleans also this is indeed within the
πρυτανείου, τοῦ οἰκήματος τοῦ τῆς ἑστίας ἀπαντικρύ, τοὺς
prytaneum the room the of-the hearth opposite those
δὲ τὰ Ὀλύμπια νικῶντας ἑστιῶσιν ἐν τούτῳ τῷ οἰκήματι.
and the Olympic-games winning they-feast in this the room

λείπεται δὲ τὸ μετὰ τοῦτο ἡμῖν τῆς τε Ἥρας ὁ ναὸς 16.1
remains and the after this for-us — both of-Hera the temple
καὶ ὁπόσα ἐστὶν ἐν τῷ ναῷ πρέποντα ἐς συγγραφήν.
and as-many-as are in the temple fitting for writing
λέγεται δὲ ὑπὸ Ἠλείων ὡς Σκιλλούντιοι τῶν ἐν τῇ
is-said and by Eleans that Scilluntians of-the in —
Τριφυλίᾳ πόλεών εἰσιν οἱ κατασκευασάμενοι τὸν ναὸν
Triphylia cities are the(-ones) having-built the temple
ὀκτὼ μάλιστα ἔτεσιν ὕστερον ἢ τὴν βασιλείαν τὴν ἐν
eight about years later than the kingship the in
Ἤλιδι ἐκτήσατο Ὄξυλος. ἐργασία μὲν δή ἐστι τοῦ ναοῦ
Elis acquired Oxylus workmanship indeed indeed is of-the temple
Δώριος, κίονες δὲ περὶ πάντα ἑστήκασιν αὐτόν· ἐν δὲ τῷ
Doric columns and around all stand it in and the
ὀπισθοδόμῳ δρυὸς ὁ ἕτερος τῶν κιόνων ἐστί. μῆκος δέ
back-chamber of-oak the one of-the columns is length and
εἰσι τοῦ ναοῦ πόδες ἐννέα καὶ ἑξήκοντα καὶ ἑκατόν, εὖρος
are of-the temple feet nine and sixty and hundred breadth
δὲ τρεῖς καὶ ἑξήκοντα, τὸ δὲ ὕψος τῶν πεντήκοντα οὐκ
and three and sixty the and height than-the fifty not
ἀποδεῖ· τὸν δὲ ἀρχιτέκτονα ὅστις ἐγένετο οὐ μνημονεύουσι.
falls-short the and architect who he-was not they-record
διὰ πέμπτου δὲ ὑφαίνουσιν ἔτους τῇ Ἥρᾳ πέπλον αἱ ἓξ 16.2
through fifth and they-weave year — for-Hera robe the six
καὶ δέκα γυναῖκες· αἱ δὲ αὐταὶ τιθέασι καὶ ἀγῶνα Ἡραῖα.
and ten women the and same hold also contest Heraea
ὁ δὲ ἀγών ἐστιν ἅμιλλα δρόμου παρθένοις· οὔτι που
the and contest is race of-running for-maidens not-at-all surely
πᾶσαι ἡλικίας τῆς αὐτῆς, ἀλλὰ πρῶται μὲν αἱ νεώταται,
all of-age the same but first indeed the youngest

μετὰ ταύτας δὲ αἱ τῇ ἡλικίᾳ δεύτεραι, τελευταῖαι δὲ
after these and the in-the age second last and
θέουσιν ὅσαι πρεσβύταται τῶν παρθένων εἰσί.
run as-many-as eldest of-the maidens are

16.3 θέουσι δὲ οὕτω· καθεῖταί σφισιν ἡ κόμη, χιτὼν ὀλίγον
they-run and thus is-let-down for-them the hair tunic a-little
ὑπὲρ γόνατος καθήκει, τὸν ὦμον ἄχρι τοῦ στήθους
above knee reaches the shoulder as-far-as the breast
φαίνουσι τὸν δεξιόν. ἀποδεδειγμένον μὲν δὴ ἐς τὸν ἀγῶνά
they-show the right appointed indeed indeed for the contest
ἐστι καὶ ταύταις τὸ Ὀλυμπικὸν στάδιον, ἀφαιροῦσι δὲ
is also for-these the Olympic stadium they-take-off and
αὐταῖς ἐς τὸν δρόμον τοῦ σταδίου τὸ ἕκτον μάλιστα· ταῖς
from-them for the race of-the stadium the sixth about to-the
δὲ νικώσαις ἐλαίας τε διδόασι στεφάνους καὶ βοὸς μοῖραν
and winners of-olive both they-give crowns and of-cow portion
τεθυμένης τῇ Ἥρᾳ, καὶ δὴ ἀναθεῖναί σφισιν ἔστι
sacrificed — to-Hera and indeed to-dedicate for-them it-is-allowed
γραψαμέναις εἰκόνας. εἰσὶ δὲ καὶ αἱ διακονούμεναι ταῖς
having-had-painted images there-are and also the serving the
ἑκκαίδεκα κατὰ ταὐτὰ ταῖς ἀγωνοθετούσαις γυναῖκες.
sixteen by the-same to-the presiding women

16.4 ἐπανάγουσι δὲ καὶ τῶν παρθένων τὸν ἀγῶνα ἐς τὰ ἀρχαῖα,
they-trace-back and also of-the maidens the contest to the ancient-times
Ἱπποδάμειαν τῇ Ἥρᾳ τῶν γάμων τῶν Πέλοπος ἐκτίνουσαν
Hippodameia — to-Hera for-the marriage the of-Pelops paying
χάριν τάς τε ἑκκαίδεκα ἀθροῖσαι γυναῖκας λέγοντες καὶ
gratitude the both sixteen to-have-assembled women saying and
σὺν αὐταῖς διαθεῖναι πρώτην τὰ Ἡραῖα· μνημονεύουσι δὲ
with them to-have-instituted first the Heraea they-record and
καὶ ὅτι Χλῶρις νικήσειεν Ἀμφίονος θυγάτηρ μόνη λειφθεῖσα
also that Chloris won of-Amphion daughter alone left

τοῦ οἴκου. σὺν δὲ αὐτῇ καὶ ἕνα περιγενέσθαι φασὶ τῶν
of-the house with and her also one to-have-survived they-say of-the
ἀρσένων· ἃ δὲ ἐς τοὺς Νιόβης παῖδας παρίστατο αὐτῷ
males what and about the of-Niobe children it-occurred myself
μοι γινώσκειν, ἐν τοῖς ἔχουσιν ἐς Ἀργείους ἐδήλωσα.
to-me to-know in the-parts relating to Argives I-made-clear
ἐς δὲ τὰς ἑκκαίδεκα γυναῖκας καὶ ἄλλον τοιόνδε 16.5
about and the sixteen women also another such
λέγουσιν ἐπὶ τῷ προτέρῳ λόγον. Δαμοφῶντά φασι
they-tell besides the former story Damophon they-say
τυραννοῦντα ἐν Πίσῃ πολλά τε ἐργάσασθαι καὶ χαλεπὰ
being-tyrant in Pisa many-things both to-have-wrought and grievous
Ἠλείους· ὡς δὲ ἐτελεύτησεν ὁ Δαμοφῶν — οὐ γὰρ δὴ
Eleans when and died — Damophon not for indeed
οἱ Πισαῖοι συνεχώρουν μετέχειν δημοσίᾳ τοῦ τυράννου
the Pisaeans consented to-share publicly of-the tyrant
τῶν ἁμαρτημάτων, καί πως ἀρεστὰ καὶ Ἠλείοις
the misdeeds and somehow pleasing also to-Eleans
ἐγένετο καταλύεσθαι τὰ ἐς αὐτοὺς ἐγκλήματα—, οὕτως
it-became to-be-dissolved the against them charges thus
ἑκκαίδεκα οἰκουμένων τηνικαῦτα ἔτι ἐν τῇ Ἠλείᾳ πόλεων
sixteen inhabited at-that-time still in the Elean-land cities
γυναῖκα ἀφ' ἑκάστης εἵλοντο διαλύειν τὰ διάφορά σφισιν,
woman from each they-chose to-settle the differences for-them
ἥτις ἡλικίᾳ τε ἦν πρεσβυτάτη καὶ ἀξιώματι καὶ δόξῃ
who in-age both was eldest and in-dignity and in-repute
τῶν γυναικῶν προεῖχεν.
of-the women excelled
αἱ πόλεις δὲ ἀφ' ὧν τὰς γυναῖκας εἵλοντο, ἦσαν Ἦλις 16.6
the cities and from which the women they-chose were Elis
∗∗∗. ἀπὸ τούτων μὲν αἱ γυναῖκες οὖσαι τῶν πόλεων
(lacuna) from these indeed the women being of-the cities

Πισαίοις διαλλαγὰς πρὸς Ἠλείους ἐποίησαν· ὕστερον δὲ
for-Pisaeans reconciliations with Eleans made later and
καὶ τὸν ἀγῶνα ἐπετράπησαν ὑπ᾽ αὐτῶν θεῖναι τὰ Ἡραῖα
also the contest were-entrusted by them to-hold the Heraea
καὶ ὑφήνασθαι τῇ Ἥρᾳ τὸν πέπλον. αἱ δὲ ἑκκαίδεκα
and to-weave — for-Hera the robe the and sixteen
γυναῖκες καὶ χοροὺς δύο ἱστᾶσι καὶ τὸν μὲν Φυσκόας
women also choruses two set-up and the(-one) indeed of-Physcoa
τῶν χορῶν, τὸν δὲ Ἱπποδαμείας καλοῦσι· τὴν Φυσκόαν
of-the choruses the(-other) and of-Hippodameia they-call — Physcoa
δὲ εἶναι ταύτην φασὶν ἐκ τῆς Ἤλιδος τῆς Κοίλης, τῷ
and to-be her they-say from — Elis the Hollow for-the
δήμῳ δὲ ἔνθα ᾤκησεν ὄνομα Ὀρθίαν εἶναι.
deme and where she-dwelt name Orthia to-be

16.7 ταύτῃ τῇ Φυσκόᾳ Διόνυσον συγγενέσθαι λέγουσι, Φυσκόαν
with-this — Physcoa Dionysus to-have-lain they-say Physcoa
δὲ ἐκ Διονύσου τεκεῖν παῖδα Ναρκαῖον· τοῦτον, ὡς
and by Dionysus to-have-borne son Narcaeus this-one when
ηὐξήθη, πολεμεῖν τοῖς προσοίκοις καὶ δυνάμεως ἐπὶ μέγα
he-grew-up to-war against-the neighbors and of-power to great
ἀρθῆναι, καὶ δὴ καὶ Ἀθηνᾶς ἱερὸν ἐπίκλησιν Ναρκαίας
to-have-risen and indeed also of-Athena sanctuary by-surname Narcaea
αὐτὸν ἱδρύσασθαι· Διονύσῳ τε τιμὰς λέγουσιν ὑπὸ Ναρκαίου
him to-have-founded to-Dionysus both honors they-say by Narcaeus
καὶ Φυσκόας δοθῆναι πρώτων. Φυσκόας μὲν δὴ
and Physcoa to-have-been-given first of-Physcoa indeed indeed
γέρα καὶ ἄλλα καὶ χορὸς ἐπώνυμος παρὰ τῶν ἑκκαίδεκα
privileges both others and chorus named-after from the sixteen
γυναικῶν, φυλάσσουσι δὲ οὐδὲν ἧσσον Ἠλεῖοι καὶ
women keep and in-nothing less Eleans also

τἄλλα καταλυθεισῶν ὅμως τῶν πόλεων· νενεμημένοι
the-other-things having-been-dissolved nevertheless the cities having-been-divided
γὰρ ἐς ὀκτὼ φυλὰς ἀφ᾽ ἑκάστης αἱροῦνται γυναῖκας δύο.
for into eight tribes from each they-choose women two
ὁπόσα δὲ ἢ ταῖς ἑκκαίδεκα γυναιξὶν ἢ τοῖς 16.8
as-many-as and either for-the sixteen women or for-the
ἑλλανοδικοῦσιν Ἠλείων δρᾶν καθέστηκεν, οὐ πρότερον
umpires of-Eleans to-do is-established not before
δρῶσι πρὶν ἢ χοίρῳ τε ἐπιτηδείῳ πρὸς καθαρμὸν καὶ
they-do before than with-pig both suitable for purification and
ὕδατι ἀποκαθήρωνται. γίνεται δέ σφισιν ἐπὶ κρήνῃ Πιέρᾳ
with-water they-are-purified takes-place and for-them at spring Piera
τὰ καθάρσια· ἐκ δὲ Ὀλυμπίας τὴν πεδιάδα ἐς Ἦλιν
the purification from and Olympia the plain-road to Elis
ἐρχομένῳ πρὸς τὴν πηγὴν ἀφικέσθαι τὴν Πιέραν ἔστι.
to-one-going to the spring to-arrive — Piera it-is

In the Heraeum Hera sits enthroned with Zeus standing beside her, among works by Smilis, by the pupils of Dipoenus and Scyllis, and Praxiteles' Hermes with the infant Dionysus. The cedar chest in which Cypselus' mother hid him from the Bacchiadae bears figures of ivory, gold, and cedar, with inscriptions written boustrophedon. Pausanias describes its first three bands: Pelops and Oenomaus, Amphiaraus' departure, Pelias' funeral games, Heracles and the Hydra, Night with Sleep and Death, Justice beating Injustice, Medea and Jason, the Muses, and armies meeting.

17.1 ταῦτα μὲν δὴ ἔχει κατὰ τὰ προειρημένα· τῆς
these-things indeed indeed are in-accordance-with the aforesaid —
Ἥρας δέ ἐστιν ἐν τῷ ναῷ Διός, τὸ δὲ Ἥρας ἄγαλμα
of-Hera and is in the temple of-Zeus the and of-Hera statue
καθήμενόν ἐστιν ἐπὶ θρόνῳ· παρέστηκε δὲ γένειά τε ἔχων
seated is on throne stands-beside and beard both having
καὶ ἐπικείμενος κυνῆν ἐπὶ τῇ κεφαλῇ, ἔργα δέ ἐστιν
and wearing cap on the head works and are
ἁπλᾶ. τὰς δὲ ἐφεξῆς τούτων καθημένας ἐπὶ θρόνων Ὥρας
simple the and next these seated on thrones Seasons
ἐποίησεν Αἰγινήτης Σμῖλις. παρὰ δὲ αὐτὰς Θέμιδος ἅτε
made Aeginetan Smilis beside and them of-Themis as
μητρὸς τῶν Ὡρῶν ἄγαλμα ἕστηκε Δορυκλείδου τέχνη, γένος
mother of-the Seasons statue stands of-Dorycleidas art by-birth
μὲν Λακεδαιμονίου, μαθητοῦ δὲ Διποίνου καὶ Σκύλλιδος.
indeed Lacedaemonian pupil but of-Dipoenus and of-Scyllis
17.2 τὰς δὲ Ἑσπερίδας πέντε ἀριθμὸν Θεοκλῆς ἐποίησε,
the and Hesperides five in-number Theocles made
Λακεδαιμόνιος μὲν καὶ οὗτος, πατρὸς Ἡγύλου, φοιτῆσαι
Lacedaemonian indeed also this-one of-father Hegylus to-have-studied
δὲ καὶ αὐτὸς παρὰ Σκύλλιν καὶ Δίποινον λέγεται. τὴν δὲ
and also himself under Scyllis and Dipoenus is-said — and

Ἀθηνᾶν κράνος ἐπικειμένην καὶ δόρυ καὶ ἀσπίδα ἔχουσαν
Athena helmet wearing and spear and shield holding
Λακεδαιμονίου λέγουσιν ἔργον εἶναι Μέδοντος, τοῦτον
of-Lacedaemonian they-say work to-be of-Medon this-one
δὲ ἀδελφόν τε εἶναι Δορυκλείδου καὶ παρὰ ἀνδράσι
and brother both to-be of-Dorycleidas and by men
διδαχθῆναι τοῖς αὐτοῖς.
to-have-been-taught the same

Κόρη δὲ καὶ Δημήτηρ καὶ Ἀπόλλων καὶ Ἄρτεμις, αἱ 17.3
Maiden and and Demeter and Apollo and Artemis the(-ones)
μὲν ἀλλήλων εἰσὶν ἀπαντικρὺ καθήμεναι, Ἀπόλλων δὲ
indeed one-another are opposite seated Apollo and
ἐναντίος ἑστώσῃ τῇ Ἀρτέμιδι ἕστηκεν. ἀνάκειται δὲ ἐνταῦθα
facing standing — Artemis stands is-dedicated and there
καὶ Λητὼ Τύχη τε καὶ Διόνυσος καὶ ἔχουσα Νίκη πτερά·
also Leto Fortune both and Dionysus and having Victory wings
τοὺς δὲ εἰργασμένους αὐτὰ οὐκ ἔχω δηλῶσαι, φαίνεται δὲ
those and having-wrought them not I-can to-show appears and
εἶναί μοι καὶ ταῦτα ἐς τὰ μάλιστα ἀρχαῖα. τὰ μὲν
to-be to-me also these to the utmost ancient the-things indeed
δὴ κατειλεγμένα ἐστὶν ἐλέφαντος καὶ χρυσοῦ, χρόνῳ δὲ
indeed listed are of-ivory and gold in-time and
ὕστερον καὶ ἄλλα ἀνέθεσαν ἐς τὸ Ἡραῖον· Ἑρμῆν λίθου,
later also other-things they-dedicated in the Heraeum Hermes of-stone
Διόνυσον δὲ φέρει νήπιον, τέχνη δέ ἐστι Πραξιτέλους,
Dionysus and he-carries infant art and is of-Praxiteles
καὶ Ἀφροδίτη χαλκῆ Κλέωνος ἔργον Σικυωνίου.
and Aphrodite of-bronze of-Cleon work Sicyonian

τούτου δὲ ὁ διδάσκαλος τοῦ Κλέωνος, ὄνομα Ἀντιφάνης, 17.4
of-this and the teacher — of-Cleon name Antiphanes
ἐκ φοιτήσεως Περικλύτου, Πολυκλείτου δὲ ἦν τοῦ
from study of-Periclytus of-Polycleitus and was the

Ἀργείου μαθητὴς ὁ Περίκλυτος. παιδίον δὲ ἐπίχρυσον
Argive pupil — Periclytus child and gilded
κάθηται γυμνὸν πρὸ τῆς Ἀφροδίτης· Βοηθὸς δὲ ἐτόρευσεν
sits naked before — Aphrodite Boethus and chased
αὐτὸ Καλχηδόνιος. μετεκομίσθη δὲ αὐτόσε καὶ ἐκ τοῦ
it Calchedonian were-transferred and there also from the
καλουμένου Φιλιππείου, χρυσοῦ καὶ ταῦτα καὶ ἐλέφαντος,
called Philippeum of-gold also these and of-ivory
Εὐρυδίκη τε ἡ Ἀριδαίου γυνὴ καὶ Ὀλυμπιὰς ἡ Φιλίππου.
Eurydice both the of-Arrhidaeus wife and Olympias the of-Philip
17.5 λάρναξ δὲ κέδρου μὲν πεποίηται, ζῴδια δὲ ἐλέφαντος ἐπ᾽
chest and of-cedar indeed is-made figures and of-ivory on
αὐτῆς, τὰ δὲ χρυσοῦ, τὰ δὲ καὶ ἐξ αὐτῆς ἐστιν
it the(-ones) and of-gold the(-others) and also from itself are
εἰργασμένα τῆς κέδρου· ἐς ταύτην τὴν λάρνακα Κύψελον
wrought the cedar in this the chest Cypselus
τὸν Κορίνθου τυραννήσαντα ἀπέκρυψεν ἡ μήτηρ, ἡνίκα
the(-one) of-Corinth having-been-tyrant hid the mother when
τεχθέντα ἀνευρεῖν αὐτὸν σπουδὴν ἐποιοῦντο οἱ Βακχίδαι.
born to-find him eagerness made the Bacchiadae
τῆς μὲν δὴ σωτηρίας ἕνεκα τοῦ Κυψέλου τὸ ἀπ᾽
of-the indeed indeed safety for-the-sake — of-Cypselus the from
αὐτοῦ γένος οἱ ὀνομαζόμενοι Κυψελίδαι τὴν λάρνακα ἐς
him family the named Cypselidae the chest at
Ὀλυμπίαν ἀνέθεσαν, τὰς δὲ λάρνακας οἱ τότε ἐκάλουν
Olympia dedicated the and chests the then called
Κορίνθιοι κυψέλας· ἀπὸ τούτου δὲ καὶ ὄνομα Κύψελον
Corinthians cypselae from this and also name Cypselus
τῷ παιδὶ θέσθαι λέγουσι.
to-the child to-have-given they-say

τῶν δὲ ἐπὶ τῇ λάρνακι ἐπιγράμματα ἔπεστι τοῖς πλείοσι, 17.6
of-the and on the chest inscriptions are-on on-the most
γράμμασι τοῖς ἀρχαίοις γεγραμμένα· καὶ τὰ μὲν ἐς
in-letters the ancient written and the(-ones) indeed to
εὐθὺ αὐτῶν ἔχει, σχήματα δὲ ἄλλα τῶν γραμμάτων
straight of-them are forms and others of-the letters
βουστροφηδὸν καλοῦσιν Ἕλληνες. τὸ δέ ἐστι τοιόνδε·
boustrophedon call Greeks it and is such
ἀπὸ τοῦ πέρατος τοῦ ἔπους ἐπιστρέφει τῶν ἐπῶν τὸ
from the end of-the verse turns-back of-the verses the
δεύτερον ὥσπερ ἐν διαύλου δρόμῳ. γέγραπται δὲ ἐπὶ τῇ
second as in double-course race are-written and on the
λάρνακι καὶ ἄλλως τὰ ἐπιγράμματα ἑλιγμοῖς συμβαλέσθαι
chest also otherwise the inscriptions in-windings to-make-out
χαλεποῖς. ἀρξαμένῳ δὲ ἀνασκοπεῖσθαι κάτωθεν τοσάδε
difficult to-one-having-begun and to-survey from-below such-things
ἐπὶ τῆς λάρνακος ἡ πρώτη παρέχεται χώρα.
on the chest the first offers band
Οἰνόμαος διώκων Πέλοπά ἐστιν ἔχοντα Ἱπποδάμειαν· 17.7
Oenomaus pursuing Pelops is having Hippodameia
ἑκατέρῳ μὲν δὴ δύο αὐτῶν εἰσιν ἵπποι, τοῖς δὲ τοῦ
for-each indeed indeed two of-them are horses for-those but —
Πέλοπός ἐστι πεφυκότα καὶ πτερά. ἐξῆς δὲ Ἀμφιαράου
of-Pelops are grown also wings next and of-Amphiaraus
τε ἡ οἰκία πεποίηται καὶ Ἀμφίλοχον φέρει νήπιον
both the house is-made and Amphilochus carries infant
πρεσβῦτις ἥτις δή· πρὸ δὲ τῆς οἰκίας Ἐριφύλη τὸν
old-woman whoever indeed before and the house Eriphyle the
ὅρμον ἔχουσα ἕστηκε, παρὰ δὲ αὐτὴν αἱ θυγατέρες
necklace holding stands beside and her the daughters
Εὐρυδίκη καὶ Δημώνασσα, καὶ Ἀλκμαίων παῖς γυμνός.
Eurydice and Demonassa and Alcmaeon boy naked

17.8 Ἄσιος δὲ ἐν τοῖς ἔπεσι καὶ Ἀλκμήνην ἐποίησε θυγατέρα
Asius and in the verses also Alcmene made daughter
Ἀμφιαράου καὶ Ἐριφύλης εἶναι. Βάτων δέ, ὃς ἡνιοχεῖ
of-Amphiaraus and of-Eriphyle to-be Baton and who drives-the-chariot
τῷ Ἀμφιαράῳ, τάς τε ἡνίας τῶν ἵππων καὶ τῇ χειρὶ ἔχει
— for-Amphiaraus the both reins of-the horses and in-the hand holds
τῇ ἑτέρᾳ λόγχην. Ἀμφιαράῳ δὲ ὁ μὲν τῶν ποδῶν
the other lance of-Amphiaraus and the(-one) indeed of-the feet
ἐπιβέβηκεν ἤδη τοῦ ἅρματος, τὸ ξίφος δὲ ἔχει γυμνὸν
has-mounted already on-the chariot the sword and he-holds naked
καὶ ἐς τὴν Ἐριφύλην ἐστὶν ἐπεστραμμένος ἐξαγόμενός
and toward — Eriphyle is turned carried-away
τε ὑπὸ τοῦ θυμοῦ, ὡς μόλις ἐκείνης ἂν ἀποσχέσθαι.
both by the anger so-that scarcely from-her — to-refrain
17.9 μετὰ δὲ τοῦ Ἀμφιαράου τὴν οἰκίαν ἔστιν ἀγὼν ὁ ἐπὶ Πελίᾳ
after and — of-Amphiaraus the house is contest the for Pelias
καὶ οἱ θεώμενοι τοὺς ἀγωνιστάς. πεποίηται δὲ Ἡρακλῆς
and those watching the contestants is-made and Heracles
ἐν θρόνῳ καθήμενος καὶ ὄπισθεν γυνὴ αὐτοῦ· ταύτης τῆς
on throne sitting and behind woman of-him of-this the
γυναικὸς ἐπίγραμμα μὲν ἄπεστιν ἥτις ἐστί, Φρυγίοις δὲ
woman inscription indeed is-absent who she-is on-Phrygian and
αὐλεῖ καὶ οὐχ Ἑλληνικοῖς αὐλοῖς. ἡνιοχοῦντες δὲ συνωρίδα
she-plays and not Greek flutes driving and pair
Πῖσός ἐστιν ὁ Περιήρους καὶ Ἀστερίων Κομήτου, πλεῦσαι
Pisus is the son-of-Perieres and Asterion son-of-Cometas to-have-sailed
καὶ οὗτος λεγόμενος ἐπὶ τῆς Ἀργοῦς, καὶ Πολυδεύκης τε
also this-one said on the Argo and Polydeuces both
καὶ Ἄδμητος, ἐπὶ δὲ αὐτοῖς Εὔφημος, Ποσειδῶνός τε ὢν
and Admetus after and them Euphemus of-Poseidon both being

κατὰ τὸν τῶν ποιητῶν λόγον καὶ Ἰάσονι ἐς Κόλχους τοῦ
according-to the of-the poets account and with-Jason to Colchians the
πλοῦ μετεσχηκώς· οὗτος δὲ καὶ τῇ συνωρίδι ὁ νικῶν ἐστιν.
voyage having-shared this-one and also in-the pair the winner is
οἱ δὲ ἀποτετολμηκότες πυκτεύειν Ἄδμητος καὶ Μόψος 17.10
those and having-ventured to-box Admetus and Mopsus
ἐστὶν ὁ Ἄμπυκος· ἐν μέσῳ δὲ αὐτῶν ἀνὴρ ἑστηκὼς
is the son-of-Ampyx in middle and them man standing
ἐπαυλεῖ, καθότι καὶ ἐφ' ἡμῶν ἐπὶ τῷ ἅλματι αὐλεῖν
plays-the-flute as also in our-time at the jump to-play-the-flute
τῶν πεντάθλων νομίζουσιν. Ἰάσονι δὲ καὶ Πηλεῖ τὸ
of-the pentathletes they-are-wont for-Jason and and Peleus the
ἔργον τῆς πάλης ἐξ ἴσου καθέστηκε. πεποίηται δὲ
work of-the wrestling on equal-terms stands is-made and
καὶ Εὐρυβώτας ἀφιεὶς δίσκον, ὅστις δὴ οὗτός ἐστιν
also Eurybotas throwing discus whoever indeed this-one is
ἐπὶ δίσκῳ φήμην ἔχων. οἱ δ' ἐς ἅμιλλαν δρόμου
for discus fame having those but for contest of-running
καθεστηκότες Μελανίων ἐστὶ καὶ Νεοθεὺς καὶ Φαλαρεύς,
set Melanion is and Neotheus and Phalareus
τέταρτος δὲ Ἀργεῖος καὶ Ἴφικλος πέμπτος· τούτῳ δὲ
fourth and Argeius and Iphiclus fifth to-this-one and
νικῶντι ὀρέγει τὸν στέφανον ὁ Ἄκαστος· εἴη δ' ἂν
winning reaches-out the crown — Acastus would-be and —
ὁ Πρωτεσιλάου πατὴρ τοῦ στρατεύσαντος ἐς Ἴλιον.
the of-Protesilaus father the(-one) having-campaigned to Ilium
κεῖνται δὲ καὶ τρίποδες, ἆθλα δὴ τοῖς νικῶσι, καὶ 17.11
lie and also tripods prizes indeed for-the victors and
θυγατέρες εἰσὶν αἱ Πελίου· τὸ δὲ ὄνομα ἐπὶ τῇ Ἀλκήστιδι
daughters are the of-Pelias the and name on — Alcestis
γέγραπται μόνῃ. Ἰόλαος δέ, ὃς ἐθελοντὴς μετεῖχεν Ἡρακλεῖ
is-written only Iolaus and who voluntarily shared with-Heracles

τῶν ἔργων, ἔστιν ἵππων ἅρματι ἀνῃρημένος νίκην. τὸ δὲ
the labors is of-horses with-chariot having-won victory the and
ἀπὸ τούτου ἀγὼν μὲν ὁ ἐπὶ Πελίᾳ πέπαυται, τὴν ὕδραν δέ,
from this contest indeed the for Pelias has-ended the hydra and
τὸ ἐν τῷ ποταμῷ τῇ Ἀμυμώνῃ θηρίον, Ἡρακλεῖ τοξεύοντι
the in the river the Amymone beast Heracles shooting
Ἀθηνᾶ παρέστηκεν· ἅτε δὲ τοῦ Ἡρακλέους ὄντος οὐκ
Athena stands-by as and — Heracles being not
ἀγνώστου τοῦ τε ἄθλου χάριν καὶ ἐπὶ τῷ σχήματι, τὸ ὄνομα
unknown of-the both labor because and from the posture the name
οὐκ ἔστιν ἐπ᾽ αὐτῷ γεγραμμένον. Φινεύς τε ὁ Θρᾷξ ἐστι,
not is on him written Phineus both the Thracian is
καὶ οἱ παῖδες οἱ Βορέου τὰς Ἅρπυίας ἀπ᾽ αὐτοῦ διώκουσιν.
and the sons the of-Boreas the Harpies from him pursue
18.1 τῆς χώρας δὲ ἐπὶ τῇ λάρνακι τῆς δευτέρας ἐξ ἀριστερῶν
of-the band and on the chest of-the second from left
μὲν γίνοιτο ἂν ἡ ἀρχὴ τῆς περιόδου, πεποίηται δὲ
indeed would-be — the beginning of-the circuit is-made and
γυνὴ παῖδα λευκὸν καθεύδοντα ἀνέχουσα τῇ δεξιᾷ
woman child white sleeping holding-up in-the right
χειρί, τῇ δὲ ἑτέρᾳ μέλανα ἔχει παῖδα καθεύδοντι
hand in-the and other black she-holds child to-one-sleeping
ἐοικότα, ἀμφοτέρους διεστραμμένους τοὺς πόδας. δηλοῖ
like both distorted the feet shows
μὲν δὴ καὶ τὰ ἐπιγράμματα, συνεῖναι δὲ καὶ ἄνευ τῶν
indeed indeed also the inscriptions to-understand but also without the
ἐπιγραμμάτων ἔστι Θάνατόν τε εἶναι σφᾶς καὶ Ὕπνον
inscriptions it-is Death both to-be them and Sleep
καὶ ἀμφοτέροις Νύκτα αὐτοῖς τροφόν.
and for-both Night of-them nurse

γυνὴ δὲ εὐειδὴς γυναῖκα αἰσχρὰν κολάζουσα καὶ τῇ 18.2
woman and comely woman ugly punishing and with-the(-one)
μὲν ἀπάγχουσα αὐτήν, τῇ δὲ ῥάβδῳ παίουσα,
indeed strangling her with-the(-other) and with-staff striking
Δίκη ταῦτα Ἀδικίαν δρῶσά ἐστι· δύο δὲ ἄλλας γυναῖκας
Justice these-things to-Injustice doing is two and other women
ἐς ὄλμους καθικνουμένας ὑπέροις, φάρμακα εἰδέναι σφᾶς
into mortars going-down with-pestles drugs to-know them
νομίζουσιν, ἐπεὶ ἄλλως γε οὐδὲν ἐς αὐτάς ἐστιν
they-think since otherwise at-least nothing about them is
ἐπίγραμμα. τὰ δὲ ἐς τὸν ἄνδρα τε καὶ γυναῖκα
inscription the(-things) and about the man both and woman
ἑπομένην αὐτῷ τὰ ἔπη δηλοῖ τὰ ἑξάμετρα· λέγει γὰρ
following him the verses show the hexameter it-says for
δὴ οὕτως·
indeed thus

Ἴδας Μάρπησσαν καλλίσφυρον, ἣν οἱ Ἀπόλλων
Idas Marpessa fair-ankled whom from-him Apollo
ἅρπασε, τὰν Εὐανοῦ ἄγει πάλιν οὐκ ἀέκουσαν.
carried-off the daughter-of-Euenus leads back not unwilling

χιτῶνα δὲ ἐνδεδυκὼς ἀνὴρ τῇ μὲν δεξιᾷ κύλικα, τῇ 18.3
tunic and having-put-on man in-the indeed right cup in-the(-other)
δὲ ἔχων ἐστὶν ὅρμον, λαμβάνεται δὲ αὐτῶν Ἀλκμήνη·
and holding is necklace takes-hold and of-them Alcmene
πεποίηται δὲ ἐς τὸν λόγον τῶν Ἑλλήνων ὡς
is-made and according-to the account of-the Greeks that
συγγένοιτο Ἀλκμήνῃ Ζεὺς Ἀμφιτρύωνι εἰκασθείς. Μενέλαος
lay-with Alcmene Zeus to-Amphitryon likened Menelaus
δὲ θώρακά τε ἐνδεδυκὼς καὶ ἔχων ξίφος ἔπεισιν Ἑλένην
and breastplate both having-put-on and holding sword attacks Helen

ἀποκτεῖναι, δῆλα ὡς ἁλισκομένης Ἰλίου. Μηδείας δὲ ἐπὶ
to-kill clearly as being-taken Ilium of-Medea and on
θρόνου καθημένης Ἰάσων ἐν δεξιᾷ, τῇ δὲ Ἀφροδίτη
throne sitting Jason on right on-the(-other) and Aphrodite
παρέστηκε· γέγραπται δὲ καὶ ἐπίγραμμα ἐπ᾽ αὐτοῖς·
stands-by is-written and also inscription on them

Μήδειαν Ἰάσων γαμέει, κέλεται δ᾽ Ἀφροδίτα.
Medea Jason marries bids and Aphrodite

18.4 πεποίηνται δὲ καὶ ᾄδουσαι Μοῦσαι καὶ Ἀπόλλων ἐξάρχων
are-made and also singing Muses and Apollo leading
τῆς ᾠδῆς, καί σφισιν ἐπίγραμμα γέγραπται·
of-the song and to-them inscription is-written

Λατοΐδας οὗτος τάχ᾽ ἄναξ ἑκάεργος Ἀπόλλων·
son-of-Leto this surely lord far-worker Apollo
Μοῦσαι δ᾽ ἀμφ᾽ αὐτόν, χαρίεις χορός, αἷσι κατάρχει.
Muses and around him graceful chorus whom he-leads

Ἄτλας δὲ ἐπὶ μὲν τῶν ὤμων κατὰ τὰ λεγόμενα
Atlas and on indeed the shoulders according-to the-things told
οὐρανόν τε ἀνέχει καὶ γῆν, φέρει δὲ καὶ τὰ Ἑσπερίδων
heaven both holds-up and earth carries and also the of-Hesperides
μῆλα. ὅστις δέ ἐστιν ὁ ἀνὴρ ὁ ἔχων τὸ ξίφος
apples who and is the man the(-one) holding the sword
καὶ ἐπὶ τὸν Ἄτλαντα ἐρχόμενος, ἰδίᾳ μὲν ἐπ᾽ αὐτῷ
and toward — Atlas coming separately indeed on him
γεγραμμένον ἐστὶν οὐδέν, δῆλα δὲ ἐς ἅπαντας Ἡρακλέα
written is nothing clear but to all Heracles
εἶναι. γέγραπται δὲ καὶ ἐπὶ τούτοις·
to-be is-written and also on these

Ἄτλας οὐρανὸν οὗτος ἔχει, τὰ δὲ μᾶλα μεθήσει.
Atlas heaven this-one holds the and apples he-will-let-go

ἔστι δὲ καὶ Ἄρης ὅπλα ἐνδεδυκώς, Ἀφροδίτην ἄγων· 18.5
there-is and also Ares arms having-put-on Aphrodite leading
ἐπίγραμμα δὲ Ἐνυάλιός ἐστιν αὐτῷ. πεποίηται δὲ καὶ
inscription and Enyalius is for-him is-made and also
Θέτις παρθένος, λαμβάνεται δὲ αὐτῆς Πηλεύς, καὶ ἀπὸ τῆς
Thetis maiden takes-hold and of-her Peleus and from the
χειρὸς τῆς Θέτιδος ὄφις ἐπὶ τὸν Πηλέα ἐστὶν ὁρμῶν. αἱ δὲ
hand — of-Thetis serpent at — Peleus is darting the and
ἀδελφαὶ Μεδούσης ἔχουσαι πτερὰ πετόμενον Περσέα εἰσὶ
sisters of-Medusa having wings flying Perseus are
διώκουσαι· τὸ δὲ ὄνομα ἐπὶ τῷ Περσεῖ γέγραπται μόνῳ.
pursuing the and name on — Perseus is-written only
στρατιωτικὰ δὲ ἐπὶ τῇ τρίτῃ χώρᾳ τῆς λάρνακος· τὸ 18.6
military-scenes and on the third band of-the chest the
μὲν πολύ εἰσιν ἐν αὐτοῖς οἱ πεζοί, πεποίηνται δὲ καὶ
indeed most are in them the infantry are-made and also
ἐπὶ συνωρίδων ἱππεῖς. ἐπὶ δὲ τοῖς στρατιώταις ἔστιν
on pairs horsemen on and the soldiers it-is
εἰκάζειν συνιέναι μὲν σφᾶς ἐς μάχην, συνιέναι δὲ καὶ
to-conjecture to-come-together indeed them for battle to-come-together and also
ἀσπασομένους τε καὶ ἀναγνωριοῦντας ἀλλήλους. λέγεται
going-to-greet both and going-to-recognize one-another is-said
δὲ καὶ ἐς ἀμφότερα ὑπὸ τῶν ἐξηγητῶν, καὶ τοῖς μέν
and also in both-ways by the guides and by-the(-ones) indeed
ἐστιν εἰρημένον Αἰτωλοὺς τοὺς μετὰ Ὀξύλου καὶ Ἠλείους
it-is said Aetolians those with Oxylus and Eleans
εἶναι τοὺς ἀρχαίους, ἀπαντᾶν δὲ σφᾶς γένους τε μνήμῃ
to-be the ancient to-meet and them of-kinship both in-memory

τοῦ ἐξ ἀρχῆς καὶ εὔνοιαν ἐνδεικνυμένους ἐς ἀλλήλους·
the from beginning and goodwill displaying toward one-another
οἱ δὲ συνιέναι φασὶν ἐς ἀγῶνα τὰ στρατιωτικά,
the(-others) but to-come-together say for contest the military-scenes
Πυλίους δὲ εἶναι καὶ Ἀρκάδας παρά τε Φειὰν πόλιν καὶ
Pylians and to-be and Arcadians by both Pheia city and
ποταμὸν μαχουμένους Ἰάρδανον.
river going-to-fight Iardanus

18.7 ταῦτα μὲν δὴ οὐδὲ ἀρχὴν ἀποδέξαιτο ἄν τις, ὡς ὁ
these-things indeed indeed not-even at-all would-accept — one that the
τοῦ Κυψέλου πρόγονος Κορίνθιός τε ὢν καὶ τὴν λάρνακα
— of-Cypselus ancestor Corinthian both being and the chest
αὑτῷ ποιούμενος κτῆμα, ὁπόσα μὲν Κορινθίοις ἦν
for-himself making possession as-many-as indeed for-Corinthians were
ἐπιχώρια, ἑκὼν ὑπερέβαινεν, ἃ δὲ ξενικά τε καὶ οὐδὲ
native willingly passed-over which but foreign both and not-even
ἄλλως ἥκοντα ἐς δόξαν, ἐτεχνᾶτο ἐπὶ τῇ λάρνακι· αὐτῷ
otherwise having-come to fame he-wrought on the chest to-myself
μέντοι παρίστατο ἐμοὶ ταῦτα εἰκάζειν. Κυψέλῳ καὶ τοῖς
however it-occurred me these-things to-conjecture for-Cypselus and the
προγόνοις ἐκ Γονούσσης ἦν γένος ἐξ ἀρχῆς τῆς ὑπὲρ
ancestors from Gonussa was family from beginning the above
Σικυῶνος, καὶ πρόγονός σφισιν ἦν Μέλας ὁ Ἀντάσου·
Sicyon and ancestor to-them was Melas the son-of-Antasus

18.8 Μέλανα δὲ καὶ τὸν σὺν αὐτῷ στρατὸν κατὰ τὰ
Melas and also the with him army according-to the
προειρημένα μοι καὶ ἐν τῇ Κορινθίᾳ συγγραφῇ οὐκ ἤθελεν
aforesaid by-me also in the Corinthian account not was-willing
Ἀλήτης συνοίκους δέξασθαι, γεγονός οἱ μάντευμα ἐκ
Aletes as-fellow-settlers to-receive having-come to-him oracle from
Δελφῶν ὑφορώμενος, ἐς ὃ θεραπείᾳ τε τῇ πάσῃ χρώμενον
Delphi suspecting until — with-courtship both the all using

Μέλανα καὶ ὁπότε ἀπελασθείη σὺν δεήσει ἐπανιόντα
Melas and whenever he-was-driven-off with entreaty returning
αὖθις ἐδέξατο καὶ ἄκων Ἀλήτης. τοῦτο τὸ στρατιωτικὸν
again received-him even unwilling Aletes this the army
τεκμαίροιτο ἄν τις τοὺς ἐπὶ τῇ λάρνακι εἰργασμένους εἶναι.
might-judge — one those on the chest wrought to-be

XI · THE CHEST, THE TABLE, AND OENOMAUS' PILLAR

The remaining bands of the chest show Boreas and Oreithyia, Heracles and Geryones, Theseus and Ariadne, Achilles and Memnon, Melanion and Atalanta, Ajax and Hector with Strife between them, the Dioscuri with Helen, Agamemnon and Coon with Fear on the shield, the judgment of Paris, Ajax dragging Cassandra, Eteocles and Polyneices, Odysseus and Circe, Thetis receiving the arms from Hephaestus, and Nausicaa; Pausanias guesses the verses were by Eumelus of Corinth. Colotes' ivory and gold table for the crowns follows, the guide Aristarchus' tale of a hoplite's body found in the Heraeum roof, and a wooden pillar, all that remains of Oenomaus' house after the thunderbolt. The Metroum, empty of the Mother's statue, holds the emperors, and the round Philippeum the ivory and gold statues of Philip's family by Leochares.

τέταρτα δὲ ἐπὶ τῇ λάρνακι ἐξ ἀριστερᾶς περιόντι 19.1
fourth and on the chest from left to-one-going-round
Βορέας ἐστὶν ἡρπακὼς Ὠρείθυιαν — οὐραὶ δὲ ὄφεων
Boreas is having-carried-off Oreithyia tails and of-serpents
ἀντὶ ποδῶν εἰσὶν αὐτῷ — καὶ Ἡρακλέους ὁ πρὸς
instead-of feet are for-him and of-Heracles the against
Γηρυόνην ἀγών· τρεῖς δὲ ἄνδρες Γηρυόνης εἰσὶν ἀλλήλοις
Geryones contest three and men Geryones are to-one-another
προσεχόμενοι. Θησεὺς δὲ ἔχων λύραν καὶ παρ᾽ αὐτὸν
joined Theseus and holding lyre and beside him

Ἀριάδνη κατέχουσά ἐστι στέφανον. Ἀχιλλεῖ δὲ καὶ
Ariadne holding is crown for-Achilles and and
Μέμνονι μαχομένοις παρεστήκασιν αἱ μητέρες·
Memnon fighting stand-by the mothers
19.2 ἔστι δὲ καὶ Μελανίων καὶ Ἀταλάντη παρ᾽ αὐτὸν ἔχουσα
there-is and also Melanion and Atalanta beside him holding
ἐλάφου νεβρόν. μονομαχοῦντος δὲ Αἴαντι Ἕκτορος
of-deer fawn fighting-in-single-combat and with-Ajax Hector
κατὰ τὴν πρόκλησιν, μεταξὺ ἕστηκεν αὐτῶν Ἔρις
according-to the challenge between stands them Strife
αἰσχίστη τὸ εἶδος ἐοικυῖα· πρὸς δὲ ταύτῃ καὶ Καλλιφῶν
most-ugly in-the form like besides and this also Calliphon
Σάμιος ἐν Ἀρτέμιδος ἱερῷ τῆς Ἐφεσίας ἐποίησεν Ἔριν,
Samian in of-Artemis sanctuary the Ephesian made Strife
τὴν μάχην γράψας τὴν ἐπὶ ταῖς ναυσὶν Ἑλλήνων. εἰσὶ
the battle having-painted the at the ships of-Greeks there-are
δὲ ἐπὶ τῇ λάρνακι Διόσκουροι, ὁ ἕτερος οὐκ ἔχων πω
and on the chest Dioscuri the one not having yet
γένεια, μέση δὲ αὐτῶν Ἑλένη·
beard in-middle and of-them Helen
19.3 Αἴθρα δὲ ἡ Πιτθέως ὑπὸ τῆς Ἑλένης τοῖς ποσὶν
Aethra and the daughter-of-Pittheus by — Helen with-the feet
ἐς ἔδαφος καταβεβλημένη μέλαιναν ἔχουσά ἐστιν ἐσθῆτα,
to ground thrown-down black having is clothing
ἐπίγραμμα δὲ ἐπ᾽ αὐτοῖς ἔπος τε ἑξάμετρον καὶ ὀνόματός
inscription and on them verse both hexameter and of-name
ἐστιν ἑνὸς ἐπὶ τῷ ἑξαμέτρῳ προσθήκη·
is one after the hexameter addition

Τυνδαρίδα Ἑλέναν φέρετον, Αἴθραν δ' ἕλκετον
daughter-of-Tyndareus Helen the-two-carry Aethra and the-two-drag
Ἀθάναθεν.
from-Athens

τοῦτο μὲν δὴ τὸ ἔπος οὕτω πεποίηται· Ἰφιδάμαντος δὲ 19.4
this indeed indeed the verse thus is-made of-Iphidamas and
τοῦ Ἀντήνορος κειμένου μαχόμενος πρὸς Ἀγαμέμνονα ὑπὲρ
the son-of-Antenor lying fighting against Agamemnon over
αὐτοῦ Κόων ἐστί· Φόβος δὲ ἐπὶ τοῦ Ἀγαμέμνονος τῇ
him Coon is Fear and on — of-Agamemnon the
ἀσπίδι ἔπεστιν, ἔχων τὴν κεφαλὴν λέοντος. ἐπιγράμματα
shield is-on having the head of-lion inscriptions
δὲ ὑπὲρ μὲν τοῦ Ἰφιδάμαντος νεκροῦ,
and above indeed the of-Iphidamas corpse

Ἰφιδάμας οὗτός τε Κόων περιμάρναται αὐτοῦ·
Iphidamas this-is and Coon fights-around him

τοῦ Ἀγαμέμνονος δὲ ἐπὶ τῇ ἀσπίδι,
— of-Agamemnon and on the shield

οὗτος μὲν Φόβος ἐστὶ βροτῶν, ὁ δ' ἔχων Ἀγαμέμνων. 19.5
this indeed Fear is of-mortals the and holding Agamemnon

ἄγει δὲ καὶ Ἑρμῆς παρ᾽ Ἀλέξανδρον τὸν Πριάμου
leads and also Hermes to Alexander the son-of-Priam
τὰς θεὰς κριθησομένας ὑπὲρ τοῦ κάλλους, καὶ ἔστιν
the goddesses going-to-be-judged about the beauty and is
ἐπίγραμμα καὶ τούτοις·
inscription also on-these

Ἑρμείας ὅδ᾽ Ἀλεξάνδρῳ δείκνυσι διαιτῆν
Hermes here to-Alexander shows to-judge
τοῦ εἴδους Ἥραν καὶ Ἀθάναν καὶ Ἀφροδίταν.
of-the form Hera and Athena and Aphrodite

Ἄρτεμις δὲ οὐκ οἶδα ἐφ᾽ ὅτῳ λόγῳ πτέρυγας ἔχουσά
Artemis and not I-know for what reason wings having
ἐστιν ἐπὶ τῶν ὤμων, καὶ τῇ μὲν δεξιᾷ κατέχει
is on the shoulders and with-the indeed right holds
πάρδαλιν, τῇ δὲ ἑτέρᾳ τῶν χειρῶν λέοντα. πεποίηται
leopard with-the and other of-the hands lion is-made
δὲ καὶ Κασσάνδραν ἀπὸ τοῦ ἀγάλματος Αἴας τῆς Ἀθηνᾶς
and also Cassandra from the statue Ajax — of-Athena
ἕλκων, ἐπ᾽ αὐτῷ δὲ καὶ ἐπίγραμμά ἐστιν·
dragging on it and also inscription is

Αἴας Κασσάνδραν ἀπ᾽ Ἀθαναίας Λοκρὸς ἕλκει.
Ajax Cassandra from Athena Locrian drags

19.6 τῶν δὲ Οἰδίποδος παίδων Πολυνείκει πεπτωκότι ἐς γόνυ
of-the and of-Oedipus sons on-Polyneices fallen to knee
ἔπεισιν Ἐτεοκλῆς. τοῦ Πολυνείκους δὲ ὄπισθεν γυνὴ
attacks Eteocles — of-Polyneices and behind woman
ἕστηκεν ὀδόντας τε ἔχουσα οὐδὲν ἡμερωτέρους θηρίου
stands teeth both having nothing gentler than-beast

καί οἱ τῶν χειρῶν εἰσιν ἐπικαμπεῖς οἱ ὄνυχες· ἐπίγραμμα
and her of-the hands are crooked the nails inscription
δὲ ἐπ᾽ αὐτῇ εἶναί φησι Κῆρα, ὡς τὸν μὲν ὑπὸ τοῦ
and on her to-be says Doom as the(-one) indeed by the
πεπρωμένου τὸν Πολυνείκην ἀπαχθέντα, Ἐτεοκλεῖ δὲ
destiny — Polyneices carried-off for-Eteocles and
γενομένης καὶ σὺν τῷ δικαίῳ τῆς τελευτῆς. Διόνυσος δὲ
having-come also with the justice the end Dionysus and
ἐν ἄντρῳ κατακείμενος, γένεια ἔχων καὶ ἔκπωμα χρυσοῦν,
in cave lying-down beard having and cup golden
ἐνδεδυκώς ἐστι ποδήρη χιτῶνα· δένδρα δὲ ἄμπελοι
having-put-on is reaching-the-feet tunic trees and vines
περὶ αὐτὸν καὶ μηλέαι τέ εἰσι καὶ ῥόαι.
about him and apple-trees both are and pomegranates
ἡ δὲ ἀνωτάτω χώρα — πέντε γὰρ ἀριθμόν εἰσι — 19.7
the and topmost band five for in-number they-are
παρέχεται μὲν ἐπίγραμμα οὐδέν, λείπεται δὲ εἰκάζειν
offers indeed inscription none it-is-left and to-conjecture
ἐς τὰ ἐπειργασμένα. εἰσὶν οὖν ἐν σπηλαίῳ γυνὴ
about the(-things) wrought-on there-are then in cave woman
καθεύδουσα σὺν ἀνδρὶ ἐπὶ κλίνῃ, καὶ σφᾶς Ὀδυσσέα εἶναι
sleeping with man on couch and them Odysseus to-be
καὶ Κίρκην ἐδοξάζομεν ἀριθμῷ τε τῶν θεραπαινῶν, αἵ
and Circe we-supposed from-number both of-the maidservants who
εἰσι πρὸ τοῦ σπηλαίου, καὶ τοῖς ποιουμένοις ὑπ᾽
are before the cave and from-the(-things) done by
αὐτῶν· τέσσαρές τε γάρ εἰσιν αἱ γυναῖκες καὶ ἐργάζονται
them four both for are the women and work
τὰ ἔργα, ἃ ἐν τοῖς ἔπεσιν Ὅμηρος εἴρηκε. Κένταυρος
the works which in the verses Homer has-told Centaur

δὲ οὐ τοὺς πάντας ἵππου πόδας, τοὺς δὲ ἔμπροσθεν
and not the all of-horse feet the but front
αὐτῶν ἔχων ἀνδρός ἐστιν.
of-them having of-man is

19.8 ἑξῆς καὶ ἵππων συνωρίδες καὶ γυναῖκες ἐπὶ τῶν συνωρίδων
next also of-horses pairs and women on the pairs
εἰσὶν ἑστῶσαι· πτερὰ δὲ τοῖς ἵπποις χρυσᾶ ἐστι, καὶ
are standing wings and for-the horses golden are and
ἀνὴρ δίδωσιν ὅπλα μιᾷ τῶν γυναικῶν. ταῦτα ἐς τὴν
man gives arms to-one of-the women these to the
Πατρόκλου τελευτὴν ἔχειν τεκμαίρονται· Νηρηίδας τε γὰρ
of-Patroclus death to-refer they-conjecture Nereids both for
ἐπὶ τῶν συνωρίδων εἶναι καὶ Θέτιν τὰ ὅπλα λαμβάνειν
on the pairs to-be and Thetis the arms to-receive
παρὰ Ἡφαίστου. καὶ δὴ καὶ ἄλλως ὁ τὰ ὅπλα
from Hephaestus and indeed also otherwise the(-one) the arms
διδοὺς οὔτε τοὺς πόδας ἐστὶν ἐρρωμένος καὶ ὄπισθεν
giving neither the feet is sound and behind
οἰκέτης ἕπεταί οἱ πυράγραν ἔχων·
servant follows him tongs holding

19.9 λέγεται δὲ καὶ ἐς τὸν Κένταυρον ὡς Χίρων, ἀπηλλαγμένος
is-said and also about the Centaur that Chiron having-departed
ἤδη παρὰ ἀνθρώπων καὶ ἠξιωμένος εἶναι σύνοικος
already from men and having-been-deemed-worthy to-be fellow-dweller
θεοῖς, ῥᾳστώνην τινὰ ἥκοι τοῦ πένθους Ἀχιλλεῖ
with-gods ease some came of-the grief for-Achilles
παρασκευάσων. παρθένους δὲ ἐπὶ ἡμιόνων τὴν μὲν
going-to-provide maidens and on mules the(-one) indeed
ἔχουσαν τὰς ἡνίας, τὴν δὲ ἐπικειμένην κάλυμμα ἐπὶ τῇ
holding the reins the(-other) and wearing veil on the
κεφαλῇ, Ναυσικᾶν τε νομίζουσιν εἶναι τὴν Ἀλκίνου καὶ
head Nausicaa both they-think to-be the daughter-of-Alcinous and

τὴν θεράπαιναν, ἐλαυνούσας ἐπὶ τοὺς πλυνούς. τοξεύοντα δὲ
the maidservant driving to the washing-places shooting and
ἄνδρα Κενταύρους, τοὺς δὲ καὶ ἀπεκτονότα ἐξ αὐτῶν, δῆλα
man Centaurs the(-ones) and also having-killed of them clear
Ἡρακλέα τε τὸν τοξεύοντα καὶ Ἡρακλέους εἶναι τὸ ἔργον.
Heracles both the shooter and of-Heracles to-be the deed
τὸν μὲν δὴ τὴν λάρνακα εἰργασμένον ὅστις ἦν, 19.10
the indeed indeed the chest having-wrought who he-was
οὐδαμῶς ἡμῖν δυνατὰ ἦν συμβαλέσθαι· τὰ ἐπιγράμματα
in-no-way for-us possible was to-conjecture the inscriptions
δὲ τὰ ἐπ᾽ αὐτῆς τάχα μέν που καὶ ἄλλος τις ἂν
and the on it perhaps indeed somehow also other some-one —
εἴη πεποιηκώς, τῆς δὲ ὑπονοίας τὸ πολὺ ἐς Εὔμηλον
might-be having-composed of-the but suspicion the most toward Eumelus
τὸν Κορίνθιον εἶχεν ἡμῖν, ἄλλων τε ἕνεκα καὶ τοῦ
the Corinthian held for-us others both for-the-sake and of-the
προσοδίου μάλιστα ὃ ἐποίησεν ἐς Δῆλον.
processional-hymn most which he-composed for Delos
ἔστι δὲ ἐνταῦθα καὶ ἄλλα ἀναθήματα, κλίνη τε μέγεθος 20.1
there-are and there also other offerings couch both in-size
οὐ μεγάλη, τὰ πολλὰ ἐλέφαντι κεκοσμημένη, καὶ ὁ Ἰφίτου
not large the most-part with-ivory adorned and the of-Iphitus
δίσκος καὶ τράπεζα ἐφ᾽ ἧς προτίθενται τοῖς νικῶσιν
discus and table on which are-set-out for-the victors
οἱ στέφανοι. τὴν μὲν δὴ Ἱπποδαμείας λέγουσιν εἶναι
the crowns the(-one) indeed indeed of-Hippodameia they-say to-be
παίγνιον· ὁ δὲ τοῦ Ἰφίτου δίσκος τὴν ἐκεχειρίαν, ἣν
plaything the and — of-Iphitus discus the truce which
ἐπὶ τοῖς Ὀλυμπίοις ἐπαγγέλλουσιν Ἠλεῖοι, ταύτην οὐκ ἐς
for the Olympic-games proclaim Eleans this not in

εὐθὺ ἔχει γεγραμμένην, ἀλλὰ ἐς κύκλου σχῆμα περίεισιν
straight has written but in of-circle shape go-round
ἐπὶ τῷ δίσκῳ τὰ γράμματα.
on the discus the letters

20.2 ἡ τράπεζα δὲ ἐλέφαντος μὲν πεποίηται καὶ χρυσοῦ,
the table and of-ivory indeed is-made and gold
Κωλώτου δέ ἐστιν ἔργον· εἶναι δέ φασιν ἐξ Ἡρακλείας
of-Colotes and is work to-be and they-say from Heraclea
τὸν Κωλώτην, οἱ δὲ πολυπραγμονήσαντες σπουδῇ τὰ
— Colotes those but having-busied-themselves with-zeal the(-things)
ἐς τοὺς πλάστας Πάριον ἀποφαίνουσιν ὄντα αὐτόν,
about the modelers Parian declare being him
μαθητὴν Πασιτέλους, Πασιτέλη δὲ αὐτὸν διδαχθῆναι
pupil of-Pasiteles Pasiteles and him to-have-been-taught
∗∗∗. καὶ Ἥρα τε καὶ Ζεὺς καὶ θεῶν Μήτηρ καὶ Ἑρμῆς
(lacuna) and Hera both and Zeus and of-gods Mother and Hermes
καὶ Ἀπόλλων μετὰ Ἀρτέμιδος πεποίηται· ὄπισθε δὲ ἡ
and Apollo with Artemis is-made behind and the
διάθεσίς ἐστιν ἡ τοῦ ἀγῶνος.
arrangement is the of-the contest

20.3 κατὰ δὲ ἑκατέραν πλευρὰν τῇ μὲν Ἀσκληπιὸς καὶ
on and each side on-the(-one) indeed Asclepius and
τῶν Ἀσκληπιοῦ θυγατέρων Ὑγεία ἐστίν, ἔτι δὲ καὶ Ἄρης
of-the of-Asclepius daughters Hygieia is further and also Ares
καὶ Ἀγὼν παρ᾽ αὐτόν, τῇ δὲ Πλούτων καὶ Διόνυσος
and Contest beside him on-the(-other) and Pluto and Dionysus
Περσεφόνη τε καὶ Νύμφαι, σφαῖραν αὐτῶν ἡ ἑτέρα φέρουσα·
Persephone both and Nymphs ball of-them the one carrying
ἐπὶ δὲ τῇ κλειδὶ — ἔχει γὰρ δὴ ὁ Πλούτων κλεῖν—,
on and the key has for indeed — Pluto key

λέγουσιν ἐπ᾽ αὐτῇ τὸν καλούμενον Ἅιδην κεκλεῖσθαί τε
they-say with it the called Hades to-have-been-locked both
ὑπὸ τοῦ Πλούτωνος καὶ ὡς ἐπάνεισιν οὐδεὶς αὖθις ἐξ αὐτοῦ.
by — Pluto and that comes-back no-one again from it
λόγον δέ, ὃν Ἀρίσταρχος ἔλεγεν ὁ τῶν Ὀλυμπίασιν 20.4
account but which Aristarchus told the of-the at-Olympia
ἐξηγητής, οὔ με εἰκὸς ἦν παριδεῖν· ὃς ἐπὶ τῆς ἡλικίας
guide not me fitting was to-overlook who in the age
ἔφη τῆς ἑαυτοῦ τὸν ὄροφον τοῦ Ἡραίου πεπονηκότα
said the his-own the roof of-the Heraeum having-become-damaged
ἐπανορθουμένων Ἠλείων ὁπλίτου νεκρὸν τραύματα ἔχοντα
restoring Eleans of-hoplite corpse wounds having
μεταξὺ ἀμφοτέρων εὑρεθῆναι, τῆς τε ἐς εὐπρέπειαν
between both to-have-been-found of-the both for ornament
στέγης καὶ τῆς ἀνεχούσης τὸν κέραμον· τοῦτον τὸν
roof and of-the(-one) holding-up the tiling this the
ἄνδρα μαχέσασθαι τὴν μάχην τὴν ἐντὸς Ἄλτεως πρὸς
man to-have-fought the battle the within Altis against
Λακεδαιμονίους Ἠλείων.
Lacedaemonians of-Eleans
καὶ γὰρ ἐπὶ τῶν θεῶν τὰ ἱερὰ καὶ ἐς πάντα ὁμοίως 20.5
and for onto of-the gods the sanctuaries and onto all alike
τὰ ὑψηλὰ ἐπαναβαίνοντες ἠμύνοντο οἱ Ἠλεῖοι. οὗτος
the high-places climbing defended-themselves the Eleans this
δ᾽ οὖν ὁ ἀνὴρ ἐφαίνετο ἡμῖν ὑποδῦναι μὲν ἐνταῦθα
but then the man appeared to-us to-have-crept-under indeed there
λιποψυχήσας ὑπὸ τραυμάτων· ὡς δὲ ἀφῆκε τὴν ψυχήν,
having-fainted from wounds when and he-gave-up the soul
οὐκ ἔμελλεν ἄρα οὔτε πνῖγος θέρους οὔτε ἐν χειμῶνι
not was-about then neither stifling-heat of-summer nor in winter
κρυμὸς ἔσεσθαι τῷ νεκρῷ βλάβος ἅτε ἐν σκέπῃ
frost to-be-going-to-be for-the corpse damage inasmuch-as in shelter

πάσῃ κειμένῳ. ἔλεγε δὲ καὶ τόδε ἔτι ὁ Ἀρίσταρχος,
all lying said and also this further — Aristarchus
ὡς ἐκκομίσαιντο ἐς τὸ ἐκτὸς τῆς Ἄλτεως τὸν νεκρὸν
that they-carried-out to the outside of-the Altis the corpse
καὶ ὁμοῦ τοῖς ὅπλοις γῇ κρύψαιεν.
and together-with the arms in-earth hid

20.6 ἣν δὲ καλοῦσιν Οἰνομάου κίονα οἱ Ἠλεῖοι, ἔστι μὲν πρὸς
which and they-call of-Oenomaus column the Eleans is indeed toward
τὸ ἱερὸν τοῦ Διὸς ἰόντι ἀπὸ τοῦ μεγάλου βωμοῦ·
the sanctuary — of-Zeus to-one-going from the great altar
τέσσαρες δέ εἰσιν ἐν ἀριστερᾷ κίονες καὶ ἐπ᾽ αὐτῶν ὄροφος,
four and are on left columns and on them roof
πεποίηνται δὲ ἔρυμα εἶναι ξυλίνῳ κίονι πεπονηκότι
are-made and as-protection to-be for-wooden column having-become-damaged
ὑπὸ τοῦ χρόνου καὶ τὰ πολλὰ ὑπὸ δεσμῶν συνεχομένῳ.
by the time and the most-part by bands held-together
οὗτος ὁ κίων ἐν οἰκίᾳ τοῦ Οἰνομάου, καθὰ λέγουσιν, εἱστήκει·
this the column in house — of-Oenomaus as they-say had-stood
κεραυνώσαντος δὲ τοῦ θεοῦ τὴν μὲν ἄλλην ἠφάνισεν
having-struck-with-thunderbolt and the god the indeed rest destroyed
οἰκίαν τὸ πῦρ, ὑπελίπετο δὲ τὸν κίονα ἐξ ἁπάσης μόνον.
house the fire left but the column of all alone

πινάκιον δὲ πρὸ αὐτοῦ χαλκοῦν ἐλεγεῖα ἔχει γεγραμμένα· 20.7
tablet and before it of-bronze elegiacs has written

καὶ γὰρ ἐγὼ κεινῶν εἶμ' ὦ ξένε λείψανον οἴκων,
and for I of-those am o stranger remnant of-houses
στυλὶς ἐν Οἰνομάου πρίν ποτ' ἐοῦσα δόμοις·
pillar in of-Oenomaus formerly once being halls
νῦν δὲ παρὰ Κρονίδην κεῖμαι τάδ' ἔχουσα τὰ δεσμὰ
now but by son-of-Cronus I-lie these having the bonds
τίμιος· οὐδ' ὀλοὴ δαίσατο φλόξ με πυρός.
honored nor destructive devoured flame me of-fire

συνέβη δὲ καὶ ἄλλο κατ' ἐμὲ τοιόνδε.
happened and also another in my-time such
ἀνὴρ βουλῆς τῆς Ῥωμαίων ἀνείλετο Ὀλυμπικὴν νίκην· 20.8
man of-senate the of-Romans won Olympic victory
ἐθέλων δὲ ὑπολιπέσθαι τῆς νίκης ὑπόμνημα χαλκῆν
wishing and to-leave-behind of-the victory memorial bronze
εἰκόνα σὺν ἐπιγράμματι, ὤρυσσεν ἐς ποίησιν βάθρου· καὶ
statue with inscription he-dug for making of-base and
ὡς ἐγένετο ἐγγύτατα τὸ ὄρυγμα αὐτῷ τῆς τοῦ Οἰνομάου
when came nearest the trench to-him of-the — of-Oenomaus
κίονος, ἐνταῦθα εὕρισκον οἱ ὀρύσσοντες καὶ ὅπλων καὶ
column there found those digging both of-arms and
χαλινῶν καὶ ψαλίων θραύματα.
of-bridles and of-curb-chains fragments
ταῦτα μὲν δὴ αὐτὸς ἑώρων ὀρυσσόμενα· ναὸν δὲ 20.9
these-things indeed indeed myself saw being-dug-up temple and
μεγέθει οὐ μέγαν καὶ ἐργασίᾳ Δώριον Μητρῷον καὶ
in-size not large and in-workmanship Doric Metroum even
ἐς ἐμὲ καλοῦσιν ἔτι, τὸ ὄνομα αὐτῷ διασώζοντες τὸ
to me they-call still the name for-it preserving the

ἀρχαῖον· κεῖται δὲ οὐκ ἄγαλμα ἐν αὐτῷ θεῶν Μητρός,
ancient lies and not statue in it of-gods Mother
βασιλέων δὲ ἑστήκασιν ἀνδριάντες Ῥωμαίων. ἔστι δὲ
of-emperors but stand statues Roman is and
ἐντὸς τῆς Ἄλτεως τό τε Μητρῷον καὶ οἴκημα περιφερὲς
within the Altis the both Metroum and building round
ὀνομαζόμενον Φιλιππεῖον· ἐπὶ κορυφῇ δέ ἐστι τοῦ
named Philippeum on summit and is of-the
Φιλιππείου μήκων χαλκῆ σύνδεσμος ταῖς δοκοῖς.
Philippeum poppy of-bronze fastening for-the beams
20.10 τοῦτο τὸ οἴκημα ἔστι μὲν κατὰ τὴν ἔξοδον τὴν κατὰ
this the building is indeed by the exit the by
τὸ πρυτανεῖον ἐν ἀριστερᾷ, πεποίηται δὲ ὀπτῆς πλίνθου,
the prytaneum on left is-made and of-baked brick
κίονες δὲ περὶ αὐτὸ ἑστήκασι· Φιλίππῳ δὲ ἐποιήθη μετὰ
columns and around it stand for-Philip and it-was-made after
τὸ ἐν Χαιρωνείᾳ τὴν Ἑλλάδα ὀλισθεῖν. κεῖνται δὲ αὐτόθι
the at Chaeronea — Greece to-have-fallen lie and there
Φίλιππός τε καὶ Ἀλέξανδρος, σὺν δὲ αὐτοῖς Ἀμύντας
Philip both and Alexander with and them Amyntas
ὁ Φιλίππου πατήρ· ἔργα δέ ἐστι καὶ ταῦτα Λεωχάρους
the of-Philip father works and are also these of-Leochares
ἐλέφαντος καὶ χρυσοῦ, καθὰ καὶ τῆς Ὀλυμπιάδος καὶ
of-ivory and gold as also — of-Olympias and
Εὐρυδίκης εἰσὶν αἱ εἰκόνες.
of-Eurydice are the statues

Below the hill of Cronus a row of bronze statues of Zeus, the Zanes, stands on the way to the stadium, paid for with the fines of athletes who cheated. The first six were set up when the Thessalian Eupolus bribed three boxers, and Pausanias gives the gist of their verses. Later frauds follow: the Athenian Callippus, whose city sent Hyperides to plead for him and then refused to pay until Delphi spoke; the Rhodian Philostratus and Eudelus, with a digression on the Alexandrian Straton and the few others who won wrestling and pancratium alike; Apollonius Rhantes, excluded for arriving late, who set upon Heracleides with his boxing thongs; the Egyptian boxers Didas and Sarapammon; and Damonicus of Elis, who bribed his son's opponent's father. Last, the pancratiast Sarapion alone was fined for cowardice.

τὸ δὲ ἀπὸ τούτου μοι πρόεισιν ὁ λόγος ἔς τε τῶν 21.1
the and from this for-me will-go-on the account to both of-the
ἀνδριάντων καὶ ἐς τῶν ἀναθημάτων ἐξήγησιν. ἀναμῖξαι δὲ
statues and to of-the offerings description to-mix but
οὐκ ἀρεστὰ ἦν μοι τὸν ἐπ᾽ αὐτοῖς λόγον. ἐν ἀκροπόλει
not pleasing was to-me the about them account on acropolis
μὲν γὰρ τῇ Ἀθήνῃσιν οἵ τε ἀνδριάντες καὶ ὁπόσα
indeed for the at-Athens the both statues and as-many-as
ἄλλα, τὰ πάντα ἐστὶν ὁμοίως ἀναθήματα· ἐν δὲ τῇ
other-things the all are alike offerings in but the
Ἄλτει τὰ μὲν τιμῇ τῇ ἐς τὸ θεῖον ἀνάκεινται, οἱ
Altis the(-ones) indeed for-honor the toward the divine are-dedicated the
δὲ ἀνδριάντες τῶν νικώντων ἐν ἄθλου λόγῳ σφίσι καὶ
but statues of-the victors in of-prize reckoning to-them also
οὗτοι δίδονται. τῶν μὲν δὴ ἀνδριάντων ποιησόμεθα καὶ
these are-given of-the indeed indeed statues we-shall-make also
ὕστερον μνήμην· ἐς δὲ τὰ ἀναθήματα ἡμῖν τραπήσεται
later mention to and the offerings for-us will-turn
πρότερα ὁ λόγος, τὰ ἀξιολογώτατα αὐτῶν ἐπερχομένοις.
first the account the most-notable of-them going-through

21.2 ἰόντι γὰρ ἐπὶ τὸ στάδιον τὴν ὁδὸν τὴν ἀπὸ τοῦ
to-one-going for to the stadium the road the from the
Μητρῴου, ἔστιν ἐν ἀριστερᾷ κατὰ τὸ πέρας τοῦ ὄρους
Metroum there-is on left at the end of-the mountain
τοῦ Κρονίου λίθου τε πρὸς αὐτῷ τῷ ὄρει κρηπὶς καὶ
the Cronian of-stone both by itself the mountain terrace and
ἀναβασμοὶ δι' αὐτῆς· πρὸς δὲ τῇ κρηπῖδι ἀγάλματα
steps through it by and the terrace statues
Διὸς ἀνάκειται χαλκᾶ. ταῦτα ἐποιήθη μὲν ἀπὸ χρημάτων
of-Zeus are-dedicated bronze these were-made indeed from money
ἐπιβληθείσης ἀθληταῖς ζημίας ὑβρίσασιν ἐς τὸν ἀγῶνα,
having-been-imposed on-athletes fine having-outraged against the contest
καλοῦνται δὲ ὑπὸ τῶν ἐπιχωρίων Ζᾶνες.
are-called and by the natives Zanes

21.3 πρῶτοι δὲ ἀριθμὸν ἓξ ἐπὶ τῆς ὀγδόης ἔστησαν καὶ
first and in-number six in the eighth were-set-up and
ἐνενηκοστῆς Ὀλυμπιάδος· Εὔπωλος γὰρ Θεσσαλὸς χρήμασι
ninetieth Olympiad Eupolus for Thessalian with-money
διέφθειρε τοὺς ἐλθόντας τῶν πυκτῶν, Ἀγήτορα Ἀρκάδα
corrupted those having-come of-the boxers Agetor Arcadian
καὶ Πρύτανιν Κυζικηνόν, σὺν δὲ αὐτοῖς καὶ Φορμίωνα
and Prytanis Cyzicene with and them also Phormio
Ἁλικαρνασσέα μὲν γένος, Ὀλυμπιάδι δὲ τῇ πρὸ ταύτης
Halicarnassian indeed by-birth in-Olympiad but the before this
κρατήσαντα. τοῦτο ἐξ ἀθλητῶν ἀδίκημα ἐς τὸν
having-won this from athletes wrongdoing against the
ἀγῶνα πρῶτον γενέσθαι λέγουσι, καὶ πρῶτοι χρήμασιν
contest first to-have-occurred they-say and first in-money
ἐζημιώθησαν ὑπὸ Ἠλείων Εὔπωλος καὶ οἱ δεξάμενοι δῶρα
were-fined by Eleans Eupolus and those having-received gifts

παρὰ Εὐπώλου. δύο μὲν δὴ ἐξ αὐτῶν ἔργα Κλέωνος
from Eupolus two indeed indeed of them works of-Cleon
Σικυωνίου· τὰ δὲ ἐφεξῆς τέσσαρα ὅστις ἐποίησεν, οὐκ ἴσμεν.
Sicyonian the and next four who made not we-know
τῶν δὲ ἀγαλμάτων τούτων παρέντι τρίτον τε ἐξ 21.4
of-the and statues these to-one-having-passed-over third both of
αὐτῶν καὶ τέταρτον, γεγραμμένα ἐλεγεῖά ἐστιν ἐπὶ τοῖς
them and fourth written elegiacs are on the
ἄλλοις. ἐθέλει δὲ τὸ μὲν πρῶτον τῶν ἐλεγείων δηλοῦν
others means and the indeed first of-the elegiacs to-show
ὡς οὐ χρήμασιν ἀλλὰ ὠκύτητι τῶν ποδῶν καὶ ὑπὸ ἰσχύος
that not by-money but by-swiftness of-the feet and by strength
σώματος Ὀλυμπικὴν ἔστιν εὑρέσθαι νίκην, τὸ δὲ ἐπὶ
of-body Olympic it-is to-win victory the(-one) and on
τῷ δευτέρῳ φησὶν ὡς τὸ ἄγαλμα ἕστηκε τιμῇ τε τῇ
the second says that the statue stands for-honor both the
ἐς τὸ θεῖον καὶ ὑπὸ εὐσεβείας τῆς Ἠλείων καὶ ἀθληταῖς
toward the divine and through piety the of-Eleans and for-athletes
παρανομοῦσιν εἶναι δέος· πέμπτῳ δὲ καὶ ἕκτῳ, τῷ
transgressing to-be terror on-fifth and and sixth of-the(-one)
μέν ἐστιν ἡ τοῦ ἐπιγράμματος γνώμη τά τε ἄλλα ἐς
indeed is the of-the inscription purport the-things both other for
ἔπαινον Ἠλείων καὶ οὐχ ἥκιστα ἐπὶ τῇ ζημίᾳ τῶν πυκτῶν,
praise of-Eleans and not least for the fine of-the boxers
ἐπὶ δὲ τῷ ὑπολοίπῳ διδασκαλίαν πᾶσιν Ἕλλησιν εἶναι
on and the remaining lesson for-all Greeks to-be
τὰ ἀγάλματα μηδένα ἐπὶ Ὀλυμπικῇ νίκῃ διδόναι χρήματα.
the statues no-one for Olympic victory to-give money
Εὐπώλου δὲ ὕστερόν φασιν Ἀθηναῖον Κάλλιππον ἀθλήσαντα 21.5
than-Eupolus and later they-say Athenian Callippus having-competed
πένταθλον ἐξωνήσασθαι τοὺς ἀνταγωνιουμένους χρήμασι,
in-pentathlon to-have-bought-off those going-to-contend with-money

δευτέραν δὲ ἐπὶ ταῖς δέκα τε καὶ ἑκατὸν Ὀλυμπιάδα
second and after the ten both and hundred Olympiad
εἶναι ταύτην. ἐπιβληθείσης δὲ τῷ Καλλίππῳ καὶ τοῖς
to-be this having-been-imposed and — on-Callippus and on-the(-ones)
ἀνταγωνισαμένοις ζημίας ὑπὸ Ἠλείων, ἀποστέλλουσιν
having-contended fine by Eleans send
Ὑπερείδην Ἀθηναῖοι πείσοντα Ἠλείους ἀφεῖναί σφισι
Hyperides Athenians going-to-persuade Eleans to-remit for-them
τὴν ζημίαν· ἀπειπόντων δὲ Ἠλείων τὴν χάριν, ἐχρῶντο
the fine having-refused and Eleans the favor used
ὑπεροψίᾳ τοιᾷδε ἐς αὐτοὺς οἱ Ἀθηναῖοι, οὔτε ἀποδιδόντες
disdain such toward them the Athenians neither paying
τὰ χρήματα καὶ Ὀλυμπίων εἰργόμενοι, πρὶν ἢ σφισιν
the money and from-Olympic-games being-excluded before than for-them
ὁ θεὸς ὁ ἐν Δελφοῖς οὐ πρότερον ἔφησεν ὑπὲρ οὐδενὸς
the god the at Delphi not before declared about nothing
χρήσειν πρὶν ἢ τὴν ζημίαν ἀποδοῖεν Ἠλείοις.
to-be-going-to-give-oracle before than the fine they-should-pay to-Eleans
21.6 οὕτω δὴ ἀποδόντων ἐποιήθη τῷ Διὶ ἀγάλματα, ἓξ
thus indeed having-paid were-made — for-Zeus statues six
μὲν καὶ ταῦτα, γέγραπται δὲ ἐπ᾽ αὐτοῖς ἐλεγεῖα οὐδέν
indeed also these are-written and on them elegiacs not-at-all
τι δεξιώτερα ἐς ποίησιν ἢ τὰ ἔχοντα τὴν ζημίαν
anything more-clever in poetry than those having the fine
τὴν Εὐπώλου. γνῶμαι δέ εἰσι τῶν ἐπιγραμμάτων, πρῶτον
the of-Eupolus purports and are of-the inscriptions first
μὲν ἀνατεθῆναι τὰ ἀγάλματα μαντείᾳ τοῦ θεοῦ
indeed to-have-been-dedicated the statues by-oracle of-the god
τιμήσαντος τὰ ἐς τοὺς πεντάθλους δόξαντα Ἠλείοις,
having-honored the-things about the pentathletes decided by-Eleans

τὸ δὲ ἐπὶ τῷ δευτέρῳ καὶ ὡσαύτως ἐπὶ τῷ τρίτῳ
the(-one) and on the second and likewise on the third
Ἠλείους ἐπαινοῦντά ἐστιν ἐπὶ τῶν πεντάθλων τῇ ζημίᾳ·
Eleans praising is for the pentathletes' the fine
τὸ τέταρτον δὲ ἐθέλει λέγειν τὸν Ὀλυμπίασιν ἀγῶνα ἀρετῆς 21.7
the fourth and means to-say the at-Olympia contest of-excellence
εἶναι καὶ οὐ χρημάτων, τὰ δὲ ἐπιγράμματα τὰ ἐπὶ τῷ
to-be and not of-money the and inscriptions the on the
πέμπτῳ τε καὶ ἕκτῳ, τὸ μὲν αὐτῶν δηλοῖ καθ' ἥντινα
fifth both and sixth the(-one) indeed of-them shows for what
αἰτίαν ἀνετέθη τὰ ἀγάλματα, τὸ δὲ ἀναμμνήσκει
cause were-dedicated the statues the(-other) and reminds
τοῦ χρησμοῦ τοῦ Ἀθηναίοις ἐλθόντος ἐκ Δελφῶν.
of-the oracle the to-Athenians having-come from Delphi
τῶν δὲ κατειλεγμένων τὰ ἐφεξῆς ἀγάλματα δύο μέν ἐστιν 21.8
of-the and listed the next statues two indeed are
ἀριθμόν, ἀνετέθη δὲ ἐπιτεθείσης παλαισταῖς ἀνδράσι
in-number were-dedicated and having-been-imposed on-wrestlers men
ζημίας· οἵτινες δὲ ἐκαλοῦντο, ἐμέ γε ἢ τοὺς Ἠλείων
fine who and were-called me at-least or the of-Eleans
λέληθεν ἐξηγητάς. ἐπιγράμματα μὲν γὰρ καὶ ἐπὶ τούτοις τοῖς
has-escaped guides inscriptions indeed for also on these the
ἀγάλμασιν ἔπεστι, λέγει δὲ τὸ μὲν πρῶτον αὐτῶν ὡς τῷ
statues are-on says and the indeed first of-them that to-the
Ὀλυμπίῳ Διὶ Ῥόδιοι χρήματα ὑπὲρ ἀνδρὸς ἀδικίας ἐκτίσαιεν
Olympian Zeus Rhodians money for man's wrongdoing paid
παλαιστοῦ, τὸ δὲ ἕτερον ὡς ἀνδρῶν ἐπὶ δώροις παλαισάντων
wrestler the and other that of-men for bribes having-wrestled
ἀπὸ τῶν ἐπιβληθέντων χρημάτων αὐτοῖς γένοιτο τὸ ἄγαλμα.
from the imposed money on-them was-made the statue

21.9 τὰ δὲ ἐπίλοιπα ἐς τοὺς ἀθλητὰς τούτους οἱ ἐξηγηταὶ
the and remaining(-things) about the athletes these the guides
λέγουσιν οἱ Ἠλείων, ὀγδόην μὲν ἐπὶ ταῖς ἑβδομήκοντα
say the of-Eleans eighth indeed after the seventy
καὶ ἑκατὸν Ὀλυμπιάδα εἶναι, λαβεῖν δὲ Εὔδηλον παρὰ
and hundred Olympiad to-be to-have-taken and Eudelus from
Φιλοστράτου χρήματα, τοῦτον δὲ εἶναι τὸν Φιλόστρατον
Philostratus money this and to-be — Philostratus
Ῥόδιον. τούτῳ τῷ λόγῳ διάφορα ὄντα εὕρισκον τὰ Ἠλείων
Rhodian with-this the account different being I-found the of-Eleans
ἐς τοὺς Ὀλυμπιονίκας γράμματα· ἔστι γὰρ δὴ ἐν τοῖς
about the Olympic-victors records it-is for indeed in the
γράμμασι τούτοις Στράτωνα Ἀλεξανδρέα Ὀλυμπιάδι ὀγδόῃ
records these Straton Alexandrian in-Olympiad eighth
μετὰ τὰς ἑβδομήκοντα καὶ ἑκατὸν ἐπὶ ἡμέρας ἀνελέσθαι
after the seventy and hundred on day to-have-won
τῆς αὐτῆς παγκρατίου καὶ πάλης νίκην. Ἀλεξανδρείας δὲ
the same of-pancratium and of-wrestling victory of-Alexandria and
τῆς ἐπὶ τῷ Κανωβικῷ τοῦ Νείλου στόματι Ἀλέξανδρος
the at the Canopic of-the Nile mouth Alexander
μὲν οἰκιστὴς ἐγένετο ὁ Φιλίππου, λέγεται δὲ καὶ πρότερον
indeed founder was the son-of-Philip is-said and also before
ἔτι πόλισμα Αἰγυπτίων ἐνταῦθα οὐ μέγα εἶναι Ῥακῶτιν·
still town of-Egyptians there not large to-be Rhacotis
21.10 Στράτωνος δὲ τούτου τρεῖς μὲν ἡλικίᾳ πρότερον, τοσοῦτοι
than-Straton and this three indeed in-age before as-many
δὲ ἄλλοι μετ᾽ αὐτόν εἰσι δῆλοι τὸν κότινον παγκρατίου τε
and others after him are manifest the wild-olive of-pancratium both
ἆθλα εἰληφότες καὶ πάλης, Κάπρος μὲν ἐξ αὐτῆς Ἤλιδος,
prizes having-taken and of-wrestling Caprus indeed from itself Elis
Ἑλλήνων δὲ τῶν πέραν Αἰγαίου Ῥόδιός τε Ἀριστομένης
of-Greeks and the beyond Aegean Rhodian both Aristomenes

καὶ Μαγνήτων τῶν ἐπὶ Ληθαίῳ Πρωτοφάνης. οἱ δὲ
and of-Magnesians the on Lethaeus Protophanes those and
ὕστερον τοῦ Στράτωνος Μαρίων τε πόλεως ἐκείνῳ τῆς
later — than-Straton Marion both of-city with-that-one the
αὐτῆς καὶ Στρατονικεὺς Ἀριστέας — τὰ δὲ παλαιότερα
same and Stratonicean Aristeas the and more-ancient-times
ἥ τε χώρα καὶ ἡ πόλις ἐκαλεῖτο Χρυσαορίς—, ἕβδομος
the both land and the city was-called Chrysaoris seventh
δὲ Νικόστρατος ἐκ τῶν ἐπὶ θαλάσσῃ Κιλίκων, οὐδὲν
and Nicostratus from the by sea Cilicians nothing
τοῖς Κίλιξιν αὐτοῦ μετὸν εἰ μὴ ὅσα τῷ λόγῳ.
to-the Cilicians of-him having-share if not as-much-as in-the name
τοῦτον τὸν Νικόστρατον νήπιον παῖδα ἔτι ἐκ Πρυμνησσοῦ 21.11
this — Nicostratus infant child still from Prymnessus
λῃσταὶ τῆς Φρυγῶν ἥρπασαν, οἰκίας ὄντα οὐκ ἀφανοῦς·
robbers the of-Phrygians carried-off of-house being not obscure
κομισθέντα δὲ αὐτὸν ἐς Αἰγέας ὠνήσατο ὅστις δή.
having-been-brought and him to Aegeae bought whoever indeed
χρόνῳ δὲ ὕστερον τῷ ἀνδρὶ τούτῳ ὄνειρον γίνεται·
in-time and later to-the man this dream comes
λέοντος δὲ ἔδοξεν ὑπὸ τῷ σκίμποδι κατακεῖσθαι σκύμνον,
of-lion and he-seemed under the pallet to-lie cub
ἐφ᾽ ᾧ ἐκάθευδεν ὁ Νικόστρατος. Νικοστράτῳ μὲν δή,
on which slept — Nicostratus to-Nicostratus indeed indeed
ὡς ηὐξήθη, καὶ ἄλλαι νῖκαι καὶ Ὀλυμπίασιν ἐγένοντο
when he-grew-up both other victories and at-Olympia came-about
παγκρατίου καὶ πάλης.
of-pancratium and of-wrestling
χρήμασι δὲ ὑπὸ Ἠλείων ἕτεροί τε ὕστερον καὶ Ἀλεξανδρεὺς 21.12
in-money and by Eleans others both later and Alexandrian
ἐζημιώθη πύκτης Ὀλυμπιάδι ἐπὶ ταῖς διακοσίαις ὀγδόῃ τε
was-fined boxer in-Olympiad after the two-hundred eighth both

καὶ δεκάτῃ. ὄνομα μὲν τῷ ζημιωθέντι Ἀπολλώνιος,
and tenth name indeed for-the(-one) fined Apollonius
ἐπίκλησις δὲ ἦν Ῥάντης· καί πως καὶ ἐπιχώριον τὸ ἐς
surname and was Rhantes and somehow also native the about
τὰς ἐπικλήσεις τοῖς Ἀλεξανδρεῦσίν ἐστιν. οὗτος ὁ ἀνὴρ
the surnames for-the Alexandrians is this the man
ἀδικεῖν ὑπὸ Ἠλείων κατεγνώσθη πρῶτος Αἰγυπτίων·
to-do-wrong by Eleans was-condemned first of-Egyptians
21.13 κατεγνώσθη δὲ οὐ δοῦναι χρήματα ἢ λαβεῖν αὐτός,
was-condemned and not to-have-given money or to-have-taken himself
ἀλλὰ τοιόνδε ἄλλο ἐς τὸν ἀγῶνα ἐξυβρίσαι. ἀφίκετο
but such another against the contest to-have-outraged he-came
οὐκ ἐς τὸν εἰρημένον καιρόν, καὶ αὐτὸν ὑπὸ Ἠλείων
not at the appointed time and him by Eleans
πειθομένων τῷ νόμῳ ἐλείπετο τοῦ ἀγῶνος εἴργεσθαι·
obeying the law it-remained from-the contest to-be-excluded
τὴν γάρ οἱ πρόφασιν, ὡς ἐν ταῖς Κυκλάσι νήσοις ὑπὸ
the for his excuse that in the Cyclades islands by
ἀνέμων κατείχετο ἐναντίων, Ἡρακλείδης γένος καὶ αὐτὸς
winds he-was-held-back contrary Heracleides by-birth also himself
Ἀλεξανδρεὺς ἤλεγχεν ἀπάτην οὖσαν· ὑστερῆσαι γὰρ
Alexandrian proved deceit being to-have-come-late for
χρήματα ἐκ τῶν ἀγώνων αὐτὸν ἐκλέγοντα τῶν ἐν Ἰωνίᾳ.
money from the contests him collecting the in Ionia
21.14 οὕτω δὴ τόν τε Ἀπολλώνιον καὶ εἰ δή τις ἄλλος ἦκεν
thus indeed — both Apollonius and if indeed any other came
οὐ κατὰ προθεσμίαν τῶν πυκτῶν, τούτους μὲν οἱ Ἠλεῖοι
not by the-appointed-day of-the boxers these indeed the Eleans
τοῦ ἀγῶνος ἀπελαύνουσι, τῷ Ἡρακλείδῃ δὲ τὸν στέφανον
from-the contest drive-away — to-Heracleides and the crown
παριᾶσιν ἀκονιτί· ἐνταῦθα ὁ Ἀπολλώνιος κατεσκευάσατό τε
they-give without-dust there — Apollonius equipped-himself both

τοῖς ἱμᾶσιν ὡς ἐς μάχην καὶ ἐσδραμὼν ἐπὶ τὸν Ἡρακλείδην
with-the thongs as for fight and having-run at — Heracleides
ἥπτετο ἐπικειμένου τε ἤδη τὸν κότινον καὶ καταπεφευγότος
attacked wearing both already the wild-olive and having-fled
ἐς τοὺς Ἑλλανοδίκας. τούτῳ μὲν δὴ ἔμελλε τὸ κοῦφον
to the umpires to-this-one indeed indeed was-about the lightness
τοῦ νοῦ βλάβος μέγα ἔσεσθαι, ἔστι δὲ καὶ
of-the mind damage great to-be-going-to-be there-are and also
ἄλλα δύο τέχνης τῆς ἐφ᾽ ἡμῶν ἀγάλματα· ἕκτῃ γὰρ ἐπὶ 21.15
other two of-art the in our-time statues in-sixth for after
ταῖς εἴκοσι καὶ διακοσίαις Ὀλυμπιάδι πύκτας ἄνδρας, ὑπὲρ
the twenty and two-hundred Olympiad boxers men for
αὐτῆς μαχομένους τῆς νίκης, ἐφώρασαν συνθεμένους ὑπὲρ
itself fighting the victory they-detected having-agreed for
λήμματος. ἀντὶ τούτων μὲν ἐγένετο ζημία· ποιηθέντων δὲ
gain for these indeed came-about fine having-been-made and
ἀγαλμάτων Διὸς τὸ μὲν ἐν ἀριστερᾷ τῆς ἐς τὸ στάδιον
statues of-Zeus the(-one) indeed on left of-the to the stadium
ἐσόδου, τὸ δὲ ἕτερον αὐτῶν ἕστηκεν ἐν δεξιᾷ. τοῖς δὲ
entrance the and other of-them stands on right for-the and
πύκταις τούτοις Δίδας τε ὄνομα ἦν καὶ τῷ τὰ χρήματα
boxers these Didas both name was and to-the(-one) the money
δόντι αὐτῶν Σαραπάμμων· νομοῦ δὲ ἦσαν τοῦ αὐτοῦ,
having-given of-them Sarapammon of-nome and they-were the same
νεωτάτου τῶν ἐν Αἰγύπτῳ, καλουμένου δὲ Ἀρσινοΐτου.
newest of-those in Egypt called and Arsinoite
θαῦμα μὲν δὴ καὶ ἄλλως ἐν οὐδενὸς λόγῳ τὸν θεὸν 21.16
wonder indeed indeed also otherwise in of-nothing account the god
θέσθαι τὸν ἐν Ὀλυμπίᾳ καὶ δέξασθαί τινα ἢ δοῦναι
to-hold the at Olympia and to-take any-one or to-give
δῶρα ἐπὶ τῷ ἀγῶνι· μείζονος δὲ ἔτι θαύματος, εἴ γε
gifts for the contest of-greater and still wonder if indeed

καὶ αὐτῶν ἐτόλμησεν ἤδη τις Ἠλείων. λέγεται δὲ
also of-themselves dared already some-one of-Eleans is-said and
ὡς Δαμόνικος τολμήσειεν Ἠλεῖος δευτέρᾳ πρὸς ταῖς
that Damonicus dared Elean in-second after the
ἑκατὸν καὶ ἐνενήκοντα Ὀλυμπιάδι· συνεστηκέναι μὲν γὰρ
hundred and ninety Olympiad to-have-been-matched indeed for
παλαίοντας ἐπὶ τῷ στεφάνῳ τόν τε τοῦ Δαμονίκου παῖδα
wrestling for the crown the both — of-Damonicus son
Πολύκτορα καὶ Σώσανδρον γένος Σμυρναῖον, ὁμώνυμον
Polyctor and Sosander by-birth Smyrnaean of-the-same-name
τῷ πατρί· Δαμόνικον δέ, ἅτε περισσῶς ἐπιθυμοῦντα
with-the father Damonicus but inasmuch-as excessively desiring
γενέσθαι τῷ παιδὶ τὴν νίκην, δοῦναι τοῦ Σωσάνδρου
to-be for-the son the victory to-have-given — of-Sosander
τῷ πατρὶ χρήματα.
to-the father money

21.17 ὡς δὲ ἐγεγόνει τὰ πραχθέντα ἔκπυστα, ἐπιβάλλουσιν
when and had-become the(-things) having-been-done known impose
οἱ Ἑλλανοδίκαι ζημίαν, ἐπιβάλλουσι δὲ οὐ τοῖς παισίν,
the umpires fine they-impose but not on-the boys
ἀλλὰ ἐς τοὺς πατέρας ἔτρεψαν τὴν ὀργήν· οὗτοι γὰρ
but against the fathers turned the anger these for
δὴ καὶ ἠδίκουν. ἀπὸ ταύτης τῆς ζημίας ἀγάλματα
indeed also did-wrong from this the fine statues
ἐποιήθη· καὶ τὸ μὲν ἐν τῷ Ἠλείων ἀνάκειται
were-made and the(-one) indeed in the of-Eleans is-dedicated
γυμνασίῳ, τὸ δὲ τῆς Ἄλτεως πρὸ τῆς Ποικίλης
gymnasium the(-other) and of-the Altis before the Painted
στοᾶς καλουμένης, ὅτι ἦσαν ἐπὶ τῶν τοίχων γραφαὶ
colonnade called because there-were on the walls paintings
τὸ ἀρχαῖον. εἰσὶ δ' οἳ τὴν στοὰν ταύτην καὶ Ἠχοῦς
the of-old there-are and who the colonnade this also of-Echo

ὀνομάζουσι· βοήσαντι δὲ ἀνδρὶ ἑπτάκις ὑπὸ τῆς ἠχοῦς
name having-shouted and to-man seven-times by the echo
ἡ φωνή, τὰ δὲ καὶ ἐπὶ πλέον ἔτι ἀποδίδοται.
the voice the-times and also to more still is-returned
παγκρατιαστὴν δέ φασιν Ἀλεξανδρέα, ὄνομα δὲ εἶναί οἱ 21.18
pancratiast and they-say Alexandrian name and to-be to-him
Σαραπίωνα, τοῦτον ἐν Ὀλυμπιάδι τῇ πρώτῃ μετὰ τὰς
Sarapion this-one in Olympiad the first after the
διακοσίας ἐς τοσοῦτο δεῖσαι τοὺς ἀνταγωνιστὰς ὥστε
two-hundred to such to-have-feared the competitors that
ἡμέρᾳ μιᾷ πρότερον ἢ ἐσκληθήσεσθαι τὸ παγκράτιον
on-day one before than to-be-going-to-be-called the pancratium
ἔμελλεν ἀποδράντα οἴχεσθαι. τοῦτον ζημιωθέντα ἐπὶ
was-about having-run-away to-have-gone this-one fined for
δειλίᾳ μόνον τῶν τε ἄλλων ἀνθρώπων καὶ αὐτῶν
cowardice alone of-the both other men and of-themselves
μνημονεύουσιν Αἰγυπτίων. ταῦτα μὲν τὰ κατειλεγμένα
they-record of-Egyptians these-things indeed the listed
ἐπὶ αἰτίαις τοιαῖσδε ποιηθέντα εὕρισκον·
for causes such made I-found

Pausanias turns to the Zeus statues dedicated by cities and private men: the Cynaethaeans' Zeus with a thunderbolt in each hand by the heralds' altar, and the Phliasian Cleolas' boyish Zeus. The Apolloniates, colonists of Corcyra, offer a group by Lycius, Myron's son, of Achilles and Memnon in combat with their mothers praying, with Greeks and Trojans in pairs, from the spoils of Thronium. Next come the Metapontines' offering, the Phliasians' Asopus and his daughters, and a Zeus given privately by three men of Leontini. The Greeks who fought at Plataea set up a Zeus by Anaxagoras of Aegina with their cities' names on the base, the Lacedaemonians first, and Pausanias notes those since left deserted. Before it stands the bronze slab of the Thirty Years' Peace; other figures of Zeus follow, among them the Megarians' by Psylacus and Onaethus, the Hyblaeans' from Sicily, and the Cleitorians', the work of Ariston and Telestas.

22.1 ἔστι δὲ καὶ ἀγάλματα Διὸς δημοσίᾳ τε καὶ ὑπὸ
there-are and also statues of-Zeus publicly both and by
ἀνδρῶν ἀνατεθέντα ἰδιωτῶν. ἔστι δὲ βωμὸς ἐν τῇ Ἄλτει
men dedicated private there-is and altar in the Altis
τῆς ἐσόδου πλησίον τῆς ἀγούσης ἐς τὸ στάδιον· ἐπὶ
the entrance near the(-one) leading to the stadium on
τούτου θεῶν μὲν οὐδενὶ θύουσιν Ἠλεῖοι, σαλπιγκταῖς δὲ
this to-gods indeed none sacrifice Eleans for-trumpeters but
ἐφεστηκόσιν αὐτῷ καὶ τοῖς κήρυξιν ἀγωνίζεσθαι καθέστηκε.
standing-on it and for-the heralds to-compete is-established
παρὰ τοῦτον τὸν βωμὸν βάθρον τε πεποίηται χαλκοῦν
beside this the altar pedestal both is-made of-bronze
καὶ ἄγαλμα ἐπ' αὐτῷ Διός, μέγεθος μὲν ὅσον ἓξ πήχεις,
and statue on it of-Zeus in-size indeed about six cubits
κεραυνὸν δὲ ἐν ἑκατέρᾳ τῇ χειρὶ ἔχει· ἀνέθεσαν δὲ αὐτὸ
thunderbolt and in each the hand he-holds dedicated and it

Κυναιθαεῖς. ὁ δὲ περικείμενός τε τὸν ὅρμον καὶ ἡλικίαν
Cynaethaeans the and wearing both the necklace and in-age
παῖς ἔτι ἀνάθημα ἀνδρός ἐστι Φλιασίου Κλεόλα.
boy still offering of-man is Phliasian Cleolas
παρὰ δὲ τὸ Ἱπποδάμιον καλούμενον λίθου τε βάθρον ἐστὶ 22.2
by and the Hippodamium called of-stone both pedestal is
κύκλος ἥμισυς καὶ ἀγάλματα ἐπ᾽ αὐτῷ Ζεὺς καὶ Θέτις τε
circle half and statues on it Zeus and Thetis both
καὶ Ἡμέρα τὸν Δία ὑπὲρ τῶν τέκνων ἱκετεύουσαι. ταῦτα ἐπὶ
and Day — Zeus for the children beseeching these on
μέσῳ τῷ βάθρῳ· οἱ δὲ ἤδη σχῆμα ἀντιτεταγμένων
middle the pedestal they and already posture of-ones-arrayed-against-each-other
ὅ τε Ἀχιλλεὺς παρέχεται καὶ ὁ Μέμνων ἐπὶ ἑκατέρῳ τοῦ
— both Achilles offers and — Memnon on each of-the
βάθρου τῷ πέρατι ἑκάτερος. ἀνθεστήκασι δὲ καὶ ἄλλος
pedestal the end each stand-opposite and also one
ἄλλῳ κατὰ τὰ αὐτά, ἀνὴρ βάρβαρος ἀνδρὶ Ἕλληνι,
to-another in the same man barbarian to-man Greek
Ὀδυσσεὺς μὲν Ἑλένῳ, ὅτι οὗτοι μάλιστα ἐπὶ σοφίᾳ
Odysseus indeed to-Helenus because these most for wisdom
δόξαν ἐν ἑκατέρῳ τῷ στρατεύματι εἰλήφεσαν, Μενελάῳ
fame in each the army had-got to-Menelaus
δὲ κατὰ τὸ ἔχθος τὸ ἐξ ἀρχῆς Ἀλέξανδρος, Διομήδει
and through the hatred the from beginning Alexander to-Diomedes
δὲ Αἰνείας καὶ τῷ Τελαμῶνος Αἴαντι Δηίφοβος.
and Aeneas and to-the son-of-Telamon Ajax Deiphobus
ταῦτά ἐστιν ἔργα μὲν Λυκίου τοῦ Μύρωνος, Ἀπολλωνιᾶται 22.3
these-things are works indeed of-Lycius the son-of-Myron Apolloniates
δὲ ἀνέθηκαν οἱ ἐν τῷ Ἰονίῳ· καὶ δὴ καὶ ἐλεγεῖον
and dedicated the(-ones) on the Ionian and indeed also elegy
γράμμασίν ἐστιν ἀρχαίοις ὑπὸ τοῦ Διὸς τοῖς ποσί·
in-letters is ancient under — Zeus at-the feet

μνάματ᾽ Ἀπολλωνίας ἀνακείμεθα, τὰν ἐνὶ πόντῳ
memorials of-Apollonia we-are-dedicated which in sea
Ἰονίῳ Φοῖβος ᾤκισ᾽ ἀκερσεκόμας·
Ionian Phoebus founded unshorn-haired
οἳ γᾶς τέρμαθ᾽ ἑλόντες Ἀβαντίδος ἐνθάδε ταῦτα
who of-land boundaries having-taken Abantid here these
ἔστασαν σὺν θεοῖς ἐκ Θρονίου δεκάταν.
set-up with gods from Thronium tithe

ἡ δὲ Ἀβαντὶς καλουμένη χώρα καὶ πόλισμα ἐν αὐτῇ
the and Abantid called land and town in it
Θρόνιον τῆς Θεσπρωτίδος ἦσαν ἠπείρου κατὰ ὄρη τὰ
Thronium of-the Thesprotian were mainland by mountains the
Κεραύνια.
Ceraunian

22.4 σκεδασθεισῶν γὰρ Ἕλλησιν, ὡς ἐκομίζοντο ἐξ Ἰλίου, τῶν
having-been-scattered for for-Greeks as they-were-going from Ilium the
νεῶν, Λοκροί τε ἐκ Θρονίου τῆς ἐπὶ Βοαγρίῳ ποταμῷ
ships Locrians both from Thronium the on Boagrius river
καὶ Ἄβαντες ἀπὸ Εὐβοίας ναυσὶν ὀκτὼ συναμφότεροι
and Abantes from Euboea with-ships eight both-together
πρὸς τὰ ὄρη κατηνέχθησαν τὰ Κεραύνια. οἰκήσαντες
to the mountains were-carried the Ceraunian having-dwelt
δὲ ἐνταῦθα καὶ πόλιν οἰκίσαντες Θρόνιον, καὶ τῆς γῆς
and there and city having-founded Thronium and of-the land
ἐφ᾽ ὅσον ἐνέμοντο Ἀβαντίδος ὄνομα ἀπὸ κοινοῦ λόγου
over as-much-as they-occupied of-Abantid name from common account
θέμενοι, ἐκπίπτουσιν ὕστερον ὑπὸ Ἀπολλωνιατῶν ὁμόρων
having-given are-expelled later by Apolloniates neighbors
κρατηθέντες πολέμῳ. ἀποικισθῆναι δὲ ἐκ Κορκύρας τὴν
having-been-defeated in-war to-have-been-colonized and from Corcyra —

Ἀπολλωνίαν, τὴν δὲ Κορινθίων εἶναί φασιν ἀποικίαν,
Apollonia the(-one) and of-Corinthians to-be they-say colony
οἱ δὲ Κορινθίοις αὐτοῖς μετεῖναι λαφύρων.
the(-others) and for-Corinthians themselves to-share of-the-spoils
προελθόντι δὲ ὀλίγον Ζεύς ἐστι πρὸς ἀνίσχοντα 22.5
to-one-having-gone-on and a-little Zeus is toward rising
τετραμμένος τὸν ἥλιον, ἀετὸν ἔχων τὸν ὄρνιθα καὶ τῇ
turned the sun eagle holding the bird and in-the
ἑτέρᾳ τῶν χειρῶν κεραυνόν· ἐπίκειται δὲ αὐτῷ καὶ ἐπὶ τῇ
other of-the hands thunderbolt lies-on and him also on the
κεφαλῇ στέφανος, ἄνθη τὰ ἠρινά. Μεταποντίνων δέ ἐστιν
head crown flowers the vernal of-Metapontines and is
ἀνάθημα, Αἰγινήτου δὲ ἔργον Ἀριστόνου· τοῦ δὲ Ἀριστόνου
offering of-Aeginetan and work Aristonus — and of-Aristonus
τούτου διδάσκαλον, ἢ καθ' ὅντινα χρόνον ἐγένετο, οὐκ ἴσμεν.
this teacher or at what time he-lived not we-know
ἀνέθεσαν δὲ καὶ Φλιάσιοι Δία καὶ θυγατέρας τὰς Ἀσωποῦ 22.6
dedicated and also Phliasians Zeus and daughters the of-Asopus
καὶ αὐτὸν Ἀσωπόν, διακεκόσμηται δὲ οὕτω σφίσι τὰ
and himself Asopus are-arranged and thus for-them the
ἀγάλματα. Νεμέα μὲν τῶν ἀδελφῶν πρώτη, μετὰ δὲ αὐτὴν
statues Nemea indeed of-the sisters first after and her
Ζεὺς λαμβανόμενός ἐστιν Αἰγίνης, παρὰ δὲ τὴν Αἴγιναν
Zeus seizing is Aegina beside and — Aegina
ἕστηκεν Ἅρπινα — ταύτῃ τῷ Ἠλείων καὶ Φλιασίων
stands Harpina with-her by-the of-Eleans and of-Phliasians
λόγῳ συνεγένετο Ἄρης, καὶ Οἰνομάῳ δὲ μήτηρ τῷ περὶ
account lay Ares and to-Oenomaus and mother the about
τὴν Πισαίαν βασιλεύσαντί ἐστιν Ἅρπινα—, μετὰ δὲ αὐτὴν
— Pisaea having-been-king is Harpina after and her
Κόρκυρά τε καὶ ἐπ' αὐτῇ Θήβη, τελευταῖος δὲ ὁ Ἀσωπός.
Corcyra both and after her Thebe last and the Asopus

λέγεται δὲ ἐς μὲν Κόρκυραν ὡς μιχθείη Ποσειδῶν αὐτῇ·
is-said and about indeed Corcyra that lay Poseidon with-her
τοιαῦτα δὲ ἕτερα ᾖσε Πίνδαρος ἐς Θήβην τε καὶ ἐς Δία.
such and other sang Pindar about Thebe both and about Zeus
22.7 ἰδίᾳ δὲ ἄνδρες Λεοντῖνοι καὶ οὐκ ἀπὸ τοῦ κοινοῦ Δία
privately and men Leontines and not from the commonwealth Zeus
ἀνέστησαν· μέγεθος μὲν τοῦ ἀγάλματος πήχεις εἰσὶν ἑπτά,
set-up size indeed of-the statue cubits are seven
ἐν δὲ ταῖς χερσὶν ἀετός τέ ἐστιν αὐτῷ καὶ τὸ βέλος τοῦ Διὸς
in and the hands eagle both is for-him and the bolt — of-Zeus
κατὰ τοὺς τῶν ποιητῶν λόγους. ἀνέθεσαν δὲ Ἱππαγόρας
according-to the of-the poets accounts dedicated and Hippagoras
τε καὶ Φρύνων καὶ Αἰνεσίδημος, ὃν ἄλλον πού τινα
both and Phrynon and Aenesidemus whom other perhaps some
Αἰνεσίδημον δοκῶ καὶ οὐ τὸν τυραννήσαντα εἶναι Λεοντίνων.
Aenesidemus I-think and not the having-been-tyrant to-be of-Leontines
23.1 παρεξιόντι δὲ παρὰ τὴν ἐς τὸ βουλευτήριον ἔσοδον Ζεύς
to-one-going-past and by the to the council-house entrance Zeus
τε ἕστηκεν ἐπίγραμμα ἔχων οὐδὲν καὶ αὖθις ὡς πρὸς
both stands inscription having none and again as toward
ἄρκτον ἐπιστρέψαντι ἄγαλμά ἐστι Διός· τοῦτο τέτραπται
north to-one-having-turned statue is of-Zeus this is-turned
μὲν πρὸς ἀνίσχοντα ἥλιον, ἀνέθεσαν δὲ Ἑλλήνων ὅσοι
indeed toward rising sun dedicated and of-Greeks as-many-as
Πλαταιᾶσιν ἐμαχέσαντο ἐναντία Μαρδονίου τε καὶ Μήδων.
at-Plataea fought against Mardonius both and Medes
εἰσὶ δὲ καὶ ἐγγεγραμμέναι κατὰ τοῦ βάθρου τὰ δεξιὰ
are and also inscribed on the pedestal the right-parts
αἱ μετασχοῦσαι πόλεις τοῦ ἔργου, Λακεδαιμόνιοι μὲν
the having-shared cities in-the deed Lacedaemonians indeed

πρῶτοι, μετὰ δὲ αὐτοὺς Ἀθηναῖοι, τρίτοι δὲ γεγραμμένοι
first after and them Athenians third and written
καὶ τέταρτοι Κορίνθιοί τε καὶ Σικυώνιοι,
and fourth Corinthians both and Sicyonians
πέμπτοι δὲ Αἰγινῆται, μετὰ δὲ Αἰγινήτας Μεγαρεῖς καὶ 23.2
fifth and Aeginetans after and Aeginetans Megarians and
Ἐπιδαύριοι, Ἀρκάδων δὲ Τεγεᾶταί τε καὶ Ὀρχομένιοι, ἐπὶ δὲ
Epidaurians of-Arcadians and Tegeans both and Orchomenians after and
αὐτοῖς ὅσοι Φλιοῦντα καὶ Τροίζηνα καὶ Ἑρμιόνα οἰκοῦσιν,
them as-many-as Phlius and Troezen and Hermione inhabit
ἐκ δὲ χώρας τῆς Ἀργείας Τιρύνθιοι, Πλαταιεῖς δὲ μόνοι
from and land the Argive Tirynthians Plataeans and alone
Βοιωτῶν, καὶ Ἀργείων οἱ Μυκήνας ἔχοντες, νησιῶται
of-Boeotians and of-Argives the(-ones) Mycenae holding islanders
δὲ Κεῖοι καὶ Μήλιοι, Ἀμβρακιῶται δὲ ἐξ ἠπείρου τῆς
and Ceans and Melians Ambraciots and from mainland the
Θεσπρωτίδος, Τήνιοί τε καὶ Λεπρεᾶται, Λεπρεᾶται μὲν τῶν
Thesprotian Tenians both and Lepreatae Lepreatae indeed of-those
ἐκ τῆς Τριφυλίας μόνοι, ἐκ δὲ Αἰγαίου καὶ τῶν Κυκλάδων
from — Triphylia alone from and Aegean and the Cyclades
οὐ Τήνιοι μόνοι ἀλλὰ καὶ Νάξιοι καὶ Κύθνιοι, ἀπὸ δὲ Εὐβοίας
not Tenians only but also Naxians and Cythnians from and Euboea
Στυρεῖς, μετὰ δὲ τούτους Ἠλεῖοι καὶ Ποτιδαιᾶται καὶ
Styrians after and these Eleans and Potidaeans and
Ἀνακτόριοι, τελευταῖοι δὲ Χαλκιδεῖς οἱ ἐπὶ τῷ Εὐρίπῳ.
Anactorians last and Chalcidians the(-ones) on the Euripus
τούτων τῶν πόλεων τοσαίδε ἦσαν ἐφ' ἡμῶν ἔρημοι· 23.3
of-these the cities so-many were in our-time deserted
Μυκηναῖοι μὲν καὶ Τιρύνθιοι τῶν Μηδικῶν ὕστερον
Mycenaeans indeed and Tirynthians than-the Median-wars later
ἐγένοντο ὑπὸ Ἀργείων ἀνάστατοι· Ἀμβρακιώτας δὲ καὶ
became by Argives uprooted Ambraciots and and

Ἀνακτορίους ἀποίκους Κορινθίων ὄντας ἐπηγάγετο ὁ
Anactorians colonists of-Corinthians being brought-in the
Ῥωμαίων βασιλεὺς ἐς Νικοπόλεως συνοικισμὸν πρὸς τῷ
of-Romans emperor to of-Nicopolis founding by —
Ἀκτίῳ· Ποτιδαιάτας δὲ δὶς μὲν ἐπέλαβεν ἀναστάτους ἐκ
Actium Potidaeans and twice indeed it-befell uprooted from
τῆς σφετέρας ὑπὸ Φιλίππου τε γενέσθαι τοῦ Ἀμύντου καὶ
the their-own by Philip both to-become the son-of-Amyntas and
πρότερον ἔτι ὑπὸ Ἀθηναίων, χρόνῳ δὲ ὕστερον Κάσσανδρος
before still by Athenians in-time and later Cassander
κατήγαγε μὲν Ποτιδαιάτας ἐπὶ τὰ οἰκεῖα, ὄνομα δὲ οὐ
brought-back indeed Potidaeans to the their-own name but not
τὸ ἀρχαῖον τῇ πόλει, Κασσάνδρεια δὲ ἐγένετο ἀπὸ τοῦ
the ancient to-the city Cassandreia but became from the
οἰκιστοῦ. τὸ δὲ ἄγαλμα ἐν Ὀλυμπίᾳ τὸ ἀνατεθὲν ὑπὸ
founder the and statue at Olympia the dedicated by
τῶν Ἑλλήνων ἐποίησεν Ἀναξαγόρας Αἰγινήτης· τοῦτον οἱ
the Greeks made Anaxagoras Aeginetan this-one those
συγγράψαντες τὰ ἐς Πλαταιὰς παριᾶσιν ἐν τοῖς λόγοις.
having-written the-things about Plataea pass-over in the accounts
23.4 ἔστι δὲ πρὸ τοῦ Διὸς τούτου στήλη χαλκῆ, Λακεδαιμονίων
there-is and before — Zeus this slab bronze of-Lacedaemonians
καὶ Ἀθηναίων συνθήκας ἔχουσα εἰρήνης ἐς τριάκοντα ἐτῶν
and of-Athenians covenant having of-peace for thirty of-years
ἀριθμόν. ταύτας ἐποιήσαντο Ἀθηναῖοι παραστησάμενοι
number these made Athenians having-subdued
τὸ δεύτερον Εὔβοιαν, ἔτει τρίτῳ τῆς τρίτης πρὸς τὰς
the second-time Euboea in-year third of-the third after the
ὀγδοήκοντα Ὀλυμπιάδος, ἣν Κρίσων Ἱμεραῖος ἐνίκα
eighty Olympiad which Crison Himeraean won
στάδιον. ἔστι δὲ ἐν ταῖς συνθήκαις καὶ τόδε εἰρημένον,
stade there-is and in the covenant also this said

εἰρήνης μὲν τῆς Ἀθηναίων καὶ Λακεδαιμονίων τῇ Ἀργείων
of-peace indeed the of-Athenians and of-Lacedaemonians to-the of-Argives
μὴ μετεῖναι πόλει, ἰδίᾳ δὲ Ἀθηναίους καὶ Ἀργείους, ἢν
not to-have-share city privately but Athenians and Argives if
ἐθέλωσιν, ἐπιτηδείως ἔχειν πρὸς ἀλλήλους. αὗται μὲν λέγουσι
they-wish friendly to-be toward one-another these indeed say
τοιαῦτα αἱ συνθῆκαι, Διὸς δὲ ἄλλο ἄγαλμα παρὰ τὸ ἅρμα
such-things the covenant of-Zeus and another statue beside the chariot
ἀνάκειται τὸ Κλεοσθένους· τούτου μὲν δὴ ἡμῖν καὶ ἐν τοῖς 23.5
is-dedicated the of-Cleosthenes of-this indeed indeed for-us also in the
ἔπειτα ἔσται μνήμη, τὸ δὲ ἄγαλμα τοῦ Διὸς Μεγαρέων μέν
following will-be mention the and statue — of-Zeus of-Megarians indeed
ἐστιν ἀνάθημα, ἀδελφοὶ δὲ αὐτὸ Ψύλακός τε καὶ Ὄναιθος
is offering brothers and it Psylacus both and Onaethus
καὶ οἱ παῖδες οἱ τούτων εἰργάσαντο· ἡλικίαν δὲ αὐτῶν ἢ
and the sons the of-these wrought age and of-them or
πατρίδα ἢ παρ' ᾧ τινι ἐδιδάχθησαν, οὐκ ἔχω δηλῶσαι.
country or with whom some they-were-taught not I-can to-make-clear
πρὸς δὲ τῷ ἅρματι τῷ Γέλωνος Ζεὺς ἕστηκεν ἀρχαῖος ἔχων 23.6
by and the chariot the of-Gelon Zeus stands ancient holding
σκῆπτρον, Ὑβλαίων δέ φασιν εἶναι ἀνάθημα· αἱ δὲ ἦσαν
scepter of-Hyblaeans and they-say to-be offering the and were
ἐν Σικελίᾳ πόλεις αἱ Ὕβλαι, ἡ μὲν Γερεᾶτις ἐπίκλησιν,
in Sicily cities — Hyblae the(-one) indeed Gereatis by-surname
τὴν δὲ — ὥσπερ γε καὶ ἦν — ἐκάλουν Μείζονα. ἔχουσι
the(-other) and as indeed also it-was they-called Greater they-have
δὲ καὶ κατ' ἐμὲ ἔτι τὰ ὀνόματα, ἐν τῇ Καταναίᾳ δὲ
and also in my-time still the names in the Catanaean-land but
ἡ μὲν ἔρημος ἐς ἅπαν, ἡ δὲ κώμη τε Καταναίων
the(-one) indeed deserted to all the(-other) but village both of-Catanaeans
ἡ Γερεᾶτις καὶ ἱερόν σφισιν Ὑβλαίας ἐστὶ θεοῦ, παρὰ
the Gereatis and sanctuary for-them of-Hyblaean is goddess from

Σικελιωτῶν ἔχον τιμάς. παρὰ τούτων δὲ κομισθῆναι
Sicilian-Greeks having honors from these and to-have-been-brought
τὸ ἄγαλμα ἐς Ὀλυμπίαν ἡγοῦμαι· τεράτων γὰρ σφᾶς καὶ
the statue to Olympia I-think of-portents for them and
ἐνυπνίων Φίλιστος ὁ Ἀρχομενίδου φησὶν ἐξηγητὰς εἶναι καὶ
of-dreams Philistus the son-of-Archomenides says interpreters to-be and
μάλιστα εὐσεβείᾳ τῶν ἐν Σικελίᾳ βαρβάρων προσκεῖσθαι.
most to-piety of-the in Sicily barbarians to-be-devoted
23.7 πλησίον δὲ τοῦ Ὑβλαίων ἀναθήματος βάθρον τε πεποίηται
near and the of-Hyblaeans offering pedestal both is-made
χαλκοῦν καὶ ἐπ᾽ αὐτῷ Ζεύς· τοῦτον ὀκτὼ μάλιστα εἶναι
of-bronze and on it Zeus this eight about to-be
ποδῶν καὶ δέκα εἰκάζομεν. οἵτινες δὲ αὐτὸν ἔδοσαν τῷ θεῷ
of-feet and ten we-conjecture who and him gave to-the god
καὶ ὧντινών ἐστιν ἔργον, ἐλεγεῖον γεγραμμένον σημαίνει·
and of-whom is work elegy written shows

Κλειτόριοι τόδ᾽ ἄγαλμα θεῷ δεκάταν ἀνέθηκαν,
Cleitorians this statue to-the-god tithe dedicated
πολλᾶν ἐκ πολίων χερσὶ βιασσάμενοι.
of-many from cities by-hands having-forced
†καιμετρειτ Ἀρίστων ἠδὲ Τελέστας
(corrupt) Ariston and Telestas
αὐτοκασίγνητοι καλὰ Λάκωνες ἔθεν.
own-brothers beautifully Laconians set-it

τούτους οὐκ ἐς ἅπαν τὸ Ἑλληνικὸν ἐπιφανεῖς νομίζω
these not to all the Greek-world famous I-think
γενέσθαι· εἶχον γὰρ ἄν τι καὶ Ἠλεῖοι περὶ αὐτῶν
to-have-been they-would-have for — something also Eleans about them
λέγειν, καὶ πλέονα ἔτι Λακεδαιμόνιοι πολιτῶν γε ὄντων.
to-say and more still Lacedaemonians citizens at-least being

Zeus statues follow: one the Corinthian people gave and Musus made, one by the Theban Ascarus from a tithe of war on the Phocians, one the Psophidians gave, one the Lacedaemonians set up when the Messenians revolted, one Mummius dedicated from the Achaean spoils, and the Eleans' own, the greatest bronze in the Altis. Near the Pelopium stand Zeus with Ganymedes and statues dedicated by Micythus, the Elaeans, the Chersonesians of Cnidus, and the people of Coressus. In the council-house stands Zeus Horcius, the most terrifying of his images, holding thunderbolts in both hands; before him athletes, their fathers, brothers, and trainers swear over the cut flesh of a boar that they will commit no fraud at the games, and the judges of the boys and colts that they will judge without bribes. Pausanias recalls the boar over which Agamemnon swore about Briseis, which Talthybius threw into the sea.

παρὰ δὲ τοῦ Λαοίτα Διὸς καὶ Ποσειδῶνος Λαοίτα, παρὰ 24.1
beside and — of-Laoetas of-Zeus and of-Poseidon of-Laoetas beside
τούτων τὸν βωμὸν Ζεὺς ἐπὶ χαλκοῦ βάθρου δῶρον μὲν
these the altar Zeus on bronze pedestal gift indeed
τοῦ Κορινθίων δήμου, Μούσου δέ ἐστι ποίημα, ὅστις δὴ
of-the of-Corinthians people of-Musus and is work whoever indeed
οὗτός ἐστιν ὁ Μοῦσος. ἀπὸ δὲ τοῦ βουλευτηρίου πρὸς
this-one is — Musus from and the council-house to
τὸν ναὸν ἐρχομένῳ τὸν μέγαν ἔστιν ἄγαλμα ἐν ἀριστερᾷ
the temple to-one-going the great there-is statue on left
Διός, ἐστεφανωμένον δὲ οἷα δὴ ἄνθεσι, καὶ ἐν τῇ δεξιᾷ
of-Zeus crowned and as indeed with-flowers and in the right
χειρὶ αὐτοῦ κεραυνὸς πεποίηται. τοῦτο δέ ἐστιν Ἀσκάρου
hand his thunderbolt is-made this and is of-Ascarus
τέχνη Θηβαίου, διδαχθέντος παρὰ τῷ Σικυωνίῳ Κανάχῳ·
art Theban taught by the Sicyonian Canachus

τὸ δὲ ἐπίγραμμα τὸ ἐπ᾽ αὐτῷ δεκάτην ἀπὸ τοῦ πολέμου
the and inscription the on it tithe from the war
Φωκέων καὶ Θεσσαλῶν φησιν εἶναι.
of-Phocians and of-Thessalians says to-be

24.2 εἰ δὲ Φωκεῦσιν ἐς πόλεμόν τινα οὗτοι κατέστησαν
if and against-Phocians into war some these entered
καὶ ἔστιν ἀπὸ Φωκέων αὐτοῖς τὸ ἀνάθημα, οὐκ ἂν ὅ
and it-is from Phocians for-them the offering not — the
γε ἱερὸς καλούμενος εἴη πόλεμος, ὃν δὲ πρότερον
at-least sacred called would-be war that but before
ἔτι ἐπολέμησαν πρὶν ἢ Μήδους καὶ βασιλέα ἐπὶ τὴν
still they-fought before than Medes and king into —
Ἑλλάδα διαβῆναι. τούτου δὲ οὐ πόρρω Ζεύς ἐστιν, ὅντινα
Greece to-cross of-this and not far Zeus is whom
ἀναθεῖναι Ψωφιδίους ἐπὶ πολέμου κατορθώματι τὸ ἔπος
to-have-dedicated Psophidians for war's success the verse
τὸ ἐπ᾽ αὐτῷ γεγραμμένον δηλοῖ.
the on it written shows

24.3 τοῦ ναοῦ δέ ἐστιν ἐν δεξιᾷ τοῦ μεγάλου Ζεὺς πρὸς
of-the temple and is on right of-the great Zeus toward
ἀνατολὰς ἡλίου, μέγεθος μὲν δυόδεκα ποδῶν, ἀνάθημα
risings of-sun in-size indeed of-twelve feet offering
δὲ λέγουσιν εἶναι Λακεδαιμονίων, ἡνίκα ἀποστᾶσι
and they-say to-be of-Lacedaemonians when against-having-revolted
Μεσσηνίοις δεύτερα τότε ἐς πόλεμον κατέστησαν· ἔπεστι
Messenians second-time then into war they-entered is-on
δὲ καὶ ἐλεγεῖον ἐπ᾽ αὐτῷ,
and also elegy on it

Δέξο ἄναξ Κρονίδα Ζεῦ Ὀλύμπιε καλὸν ἄγαλμα
Receive lord son-of-Cronus Zeus Olympian beautiful statue
ἱλάῳ θυμῷ τοῖς Λακεδαιμονίοις.
with-gracious spirit from-the Lacedaemonians

Ῥωμαίων δὲ οὔτε ἄνδρα ἰδιώτην οὔτε ὁπόσοι τῆς 24.4
of-Romans and neither man private nor as-many-as of-the
βουλῆς οὐδένα Μομμίου πρότερον ἀνάθημα ἴσμεν ἐς
senate none than-Mummius earlier offering we-know to
ἱερὸν ἀναθέντα Ἑλληνικόν, Μόμμιος δὲ ἀπὸ λαφύρων
sanctuary having-dedicated Greek Mummius and from spoils
ἀνέθηκε τῶν ἐξ Ἀχαΐας Δία ἐς Ὀλυμπίαν χαλκοῦν· οὗτος
dedicated the from Achaea Zeus at Olympia bronze this
ἕστηκεν ἐν ἀριστερᾷ τοῦ Λακεδαιμονίων ἀναθήματος,
stands on left of-the of-Lacedaemonians offering
παρὰ τὸν πρῶτον ταύτῃ τοῦ ναοῦ κίονα. ὃ δὲ ἐν τῇ
by the first here of-the temple column that-which and in the
Ἄλτει μέγιστον τῶν χαλκῶν ἐστιν ἀγαλμάτων τοῦ Διός,
Altis greatest of-the bronze is statues — of-Zeus
ἀνετέθη μὲν ὑπὸ αὐτῶν Ἠλείων ἀπὸ τοῦ πρὸς Ἀρκάδας
was-dedicated indeed by themselves Eleans from the against Arcadians
πολέμου, μέγεθος δὲ ἑπτὰ καὶ εἴκοσι ποδῶν ἐστι.
war in-size and seven and twenty of-feet is
παρὰ δὲ τῷ Πελοπίῳ κίων τε οὐχ ὑψηλὸς καὶ ἄγαλμα 24.5
by and the Pelopium column both not high and statue
Διός ἐστιν ἐπ᾽ αὐτῷ μικρόν, τὴν ἑτέραν τῶν χειρῶν
of-Zeus is on it small the other of-the hands
προτεῖνον. τούτου δὲ ἀπαντικρὺ ἄλλα ἐστὶν ἀναθήματα ἐπὶ
stretching-forth of-this and opposite other are offerings in
στοίχου, ὡς δὲ αὖτως Διὸς καὶ Γανυμήδους ἀγάλματα·
row as and likewise of-Zeus and of-Ganymedes statues

ἔστι δὲ Ὁμήρῳ πεποιημένα ὡς ἁρπασθείη τε ὑπὸ θεῶν
it-is and by-Homer composed how was-carried-off both by gods
Δωριεὺς δὲ ὁ νεώτατος παγκρατίῳ νικήσας Ὀλυμπιάσιν
Dorieus and the youngest in-pancratium having-won at-Olympiads
ἐφεξῆς τρισί. πρότερον δὲ ἔτι τοῦ Δωριέως ἐκράτησε καὶ
successive three before and still — than-Dorieus overcame also
Δαμάγητος τοὺς ἐσελθόντας ἐς τὸ παγκράτιον.
Damagetus those having-entered for the pancratium
οὗτοι μὲν ἀδελφοί τέ εἰσι καὶ Διαγόρου παῖδες, ἐπὶ 7.2
these indeed brothers both are and of-Diagoras sons after
δὲ αὐτοῖς κεῖται καὶ ὁ Διαγόρας, πυγμῆς ἐν ἀνδράσιν
and them lies also — Diagoras of-boxing among men
ἀνελόμενος νίκην· τοῦ Διαγόρου δὲ τὴν εἰκόνα Μεγαρεὺς
having-won victory — of-Diagoras and the statue Megarian
εἰργάσατο Καλλικλῆς Θεοκόσμου τοῦ ποιήσαντος τὸ
wrought Callicles son-of-Theocosmus the(-one) having-made the
ἄγαλμα ἐν Μεγάροις τοῦ Διός. Διαγόρου δὲ καὶ οἱ τῶν
statue in Megara — of-Zeus of-Diagoras and also the of-the
θυγατέρων παῖδες πύξ τε ἤσκησαν καὶ ἔσχον Ὀλυμπικὰς
daughters sons in-boxing both trained and got Olympic
νίκας, ἐν μὲν ἀνδράσιν Εὐκλῆς Καλλιάνακτός τε ὢν
victories among indeed men Eucles of-Callianax both being
καὶ Καλλιπατείρας τῆς Διαγόρου, Πεισίροδος δὲ ἐν
and of-Callipateira the daughter-of-Diagoras Pisirodus and among
παισίν, ὃν ἡ μήτηρ ἀνδρὸς ἐπιθεμένη γυμναστοῦ σχῆμα
boys whom the mother of-man having-put-on trainer guise
ἐπὶ τῶν Ὀλυμπίων αὐτὴ τὸν ἀγῶνα ἤγαγεν·
at the Olympic-games herself the contest brought
οὗτος δὲ ὁ Πεισίροδος καὶ ἐν τῇ Ἄλτει παρὰ τῆς μητρὸς 7.3
this and — Pisirodus also in the Altis beside the of-mother
τὸν πατέρα ἕστηκε. Διαγόραν δὲ καὶ ὁμοῦ τοῖς παισὶν
the father stands Diagoras and also together-with the sons
Ἀκουσιλάῳ καὶ Δαμαγήτῳ λέγουσιν ἐς Ὀλυμπίαν ἐλθεῖν·
Acusilaus and Damagetus they-say to Olympia to-have-come

νικήσαντες δὲ οἱ νεανίσκοι διὰ τῆς πανηγύρεως τὸν
having-won and the youths through the festival the
πατέρα ἔφερον βαλλόμενόν τε ὑπὸ τῶν Ἑλλήνων ἄνθεσι
father carried being-pelted both by the Greeks with-flowers
καὶ εὐδαίμονα ἐπὶ τοῖς παισὶ καλούμενον. γένος δὲ ὁ
and happy for the sons being-called by-birth and —
Διαγόρας τὸ ἐξ ἀρχῆς Μεσσήνιος πρὸς γυναικῶν ἦν καὶ
Diagoras the from beginning Messenian on women's-side was and
ἀπὸ τῆς Ἀριστομένους ἐγεγόνει θυγατρός.
from the of-Aristomenes had-been-born daughter

7.4 Δωριεῖ δὲ τῷ Διαγόρου παρὲξ ἢ Ὀλυμπίασιν Ἰσθμίων
to-Dorieus and the son-of-Diagoras besides than at-Olympia of-Isthmian
μὲν γεγόνασιν ὀκτὼ νῖκαι, Νεμείων δὲ ἀποδέουσαι μιᾶς ἐς
indeed came-about eight victories of-Nemean and falling-short by-one of
τὰς ὀκτώ· λέγεται δὲ καὶ ὡς Πύθια ἀνέλοιτο ἀκονιτί.
the eight is-said and also that Pythian-games he-won without-dust
ἀνηγορεύοντο δὲ οὗτός τε καὶ ὁ Πεισίροδος Θούριοι,
were-proclaimed and this-one both and — Pisirodus Thurians
διωχθέντες ὑπὸ τῶν ἀντιστασιωτῶν ἐκ τῆς Ῥόδου καὶ
having-been-banished by the opposing-faction from — Rhodes and
ἐς Ἰταλίαν παρὰ Θουρίους ἀπελθόντες. χρόνῳ δὲ ὕστερον
to Italy to Thurians having-gone in-time and later
κατῆλθεν ὁ Δωριεὺς ἐς Ῥόδον· καὶ φανερώτατα δὴ
came-back — Dorieus to Rhodes and most-openly indeed
ἁπάντων ἀνὴρ εἷς φρονήσας οὗτος τὰ Λακεδαιμονίων
of-all man one having-favored this-one the-side of-Lacedaemonians
φαίνεται, ὥστε καὶ ἐναυμάχησεν ἐναντία Ἀθηναίων ναυσὶν
appears so-that also he-fought-at-sea against Athenians with-ships
οἰκείαις, ἐς ὃ τριήρων ἁλοὺς Ἀττικῶν ἀνήχθη
own to which by-triremes having-been-captured Attic he-was-brought
ζῶν παρὰ Ἀθηναίους.
alive to Athenians

οἱ δὲ Ἀθηναῖοι πρὶν μὲν ἢ Δωριέα παρὰ σφᾶς 7.5
the and Athenians before indeed than Dorieus to them
ἀναχθῆναι θυμῷ τε ἐς αὐτὸν καὶ ἀπειλαῖς ἐχρῶντο·
to-be-brought with-anger both toward him and threats used
ὡς δὲ ἐς ἐκκλησίαν συνελθόντες ἄνδρα οὕτω μέγαν
when and into assembly having-come-together man so great
καὶ δόξης ἐς τοσοῦτο ἥκοντα ἐθεάσαντο ἐν σχήματι
and of-fame to so-much having-come they-beheld in posture
αἰχμαλώτου, μεταπίπτει σφίσιν ἐς αὐτὸν ἡ γνώμη καὶ
of-captive changes for-them toward him the judgment and
ἀπελθεῖν ἀφιᾶσιν οὐδὲ ἔργον οὐδὲν ἄχαρι ἐργάζονται,
to-go-away they-let nor deed any unpleasant they-do
παρόν σφισι πολλά τε καὶ σὺν τῷ δικαίῳ δρᾶσαι.
it-being-possible for-them many-things both and with the justice to-do
τὰ δὲ ἐς τοῦ Δωριέως τὴν τελευτήν ἐστιν ἐν τῇ 7.6
the-things and about — of-Dorieus the end are in the
συγγραφῇ τῇ Ἀτθίδι Ἀνδροτίωνι εἰρημένα, εἶναι μὲν
history the Attic by-Androtion told to-be indeed
τηνικαῦτα ἐν Καύνῳ τὸ βασιλέως ναυτικὸν καὶ Κόνωνα ἐπ᾽
at-that-time at Caunus the of-king fleet and Conon over
αὐτῷ στρατηγόν, Ῥοδίων δὲ τὸν δῆμον πεισθέντα ὑπὸ τοῦ
it general of-Rhodians and the people persuaded by —
Κόνωνος ἀπὸ Λακεδαιμονίων μεταβαλέσθαι σφᾶς ἐς τὴν
Conon from Lacedaemonians to-change themselves to the
βασιλέως καὶ Ἀθηναίων συμμαχίαν, Δωριέα δὲ ἀποδημεῖν
of-king and of-Athenians alliance Dorieus and to-be-abroad
μὲν τότε ἐκ Ῥόδου περὶ τὰ ἐντὸς Πελοποννήσου χωρία,
indeed then from Rhodes about the within Peloponnesus places
συλληφθέντα δὲ ὑπὸ ἀνδρῶν Λακεδαιμονίων αὐτὸν καὶ
having-been-arrested and by men Lacedaemonian him and

ἀναχθέντα ἐς Σπάρτην ἀδικεῖν τε ὑπὸ Λακεδαιμονίων
having-been-brought to Sparta to-do-wrong both by Lacedaemonians
καταγνωσθῆναι καὶ ἐπιβληθῆναί οἱ θάνατον ζημίαν.
to-have-been-condemned and to-have-been-imposed on-him death penalty
7.7 εἰ δὲ τὸν ὄντα εἶπεν Ἀνδροτίων λόγον, ἐθέλειν μοι
if and the true told Androtion account to-wish to-me
φαίνεται Λακεδαιμονίους ἐς τὸ ἴσον ἔτι Ἀθηναίοις
he-seems Lacedaemonians to the equal still with-Athenians
καταστῆσαι, ὅτι καὶ Ἀθηναίοις ἐς Θράσυλλον καὶ τοὺς
to-set because also against-Athenians about Thrasyllus and those
ἐν Ἀργινούσαις ὁμοῦ τῷ Θρασύλλῳ στρατηγήσαντας
at Arginusae together-with — Thrasyllus having-been-generals
προπετείας ἐστὶν ἔγκλημα. Διαγόρας μὲν δὴ καὶ τὸ
of-rashness is charge Diagoras indeed indeed and the
ἀπ᾽ αὐτοῦ γένος δόξης ἐς τοσοῦτο ἀφίκοντο·
from him family of-fame to so-much came
7.8 ἐγένοντο δὲ καὶ Ἀλκαινέτῳ τῷ Θεάντου Λεπρεάτῃ καὶ
came-about and also to-Alcaenetus the son-of-Theantus Lepreate both
αὐτῷ καὶ τοῖς παισὶν Ὀλυμπικαὶ νῖκαι. αὐτὸς μέν γε
himself and to-the sons Olympic victories himself indeed at-least
πυκτεύων ὁ Ἀλκαίνετος ἔν τε ἀνδράσι καὶ πρότερον ἔτι
boxing — Alcaenetus among both men and before still
ἐπεκράτησεν ἐν παισίν· Ἑλλάνικον δὲ τὸν Ἀλκαινέτου
prevailed among boys Hellanicus and the son-of-Alcaenetus
καὶ Θέαντον ἐπὶ πυγμῇ παίδων ἀναγορευθῆναι τὸν μὲν
and Theantus for boxing of-boys to-be-proclaimed the(-one) indeed
ἐνάτῃ πρὸς ταῖς ὀγδοήκοντα Ὀλυμπιάδι, τὸν δὲ τῇ
in-ninth after the eighty Olympiad the(-other) and in-the
ἐφεξῆς ταύτῃ συνέβη τὸν Θέαντον· καί σφισιν ἀνδριάντες
next to-this it-befell — Theantus and to-them statues
ἅπασιν ἐν Ὀλυμπίᾳ κεῖνται.
all at Olympia lie

ἐπὶ δὲ τοῦ Ἀλκαινέτου τοῖς υἱοῖς Γνάθων τε Διπαιεὺς 7.9
after and — of-Alcaenetus the sons Gnathon both Dipaean
τῆς Μαιναλέων χώρας καὶ Λυκῖνος ἕστηκεν Ἠλεῖος·
of-the of-Maenalians land and Lycinus stands Elean
κρατῆσαι δὲ Ὀλυμπίασι πυγμῇ παῖδας ὑπῆρξε καὶ τούτοις.
to-win and at-Olympia in-boxing boys it-fell also to-these
Γνάθωνα δὲ καὶ ἐς τὰ μάλιστα, ὅτε ἐνίκησεν, εἶναι νέον
Gnathon and also to the utmost when he-won to-be young
τὸ ἐπίγραμμα τὸ ἐπ᾽ αὐτῷ φησί· Καλλικλέους δὲ τοῦ
the inscription the on him says of-Callicles and the
Μεγαρέως ποίημα ὁ ἀνδριάς ἐστιν.
Megarian work the statue is
ἀνὴρ δὲ ἐκ Στυμφήλου Δρομεὺς ὄνομα, καὶ δὴ καὶ 7.10
man and from Stymphalus Dromeus by-name and indeed also
ἔργον τοῦτο ἐπὶ δολίχῳ παρεσχημένος, δύο μὲν ἔσχεν ἐν
deed this for long-race having-displayed two indeed got at
Ὀλυμπίᾳ νίκας, τοσαύτας δὲ ἄλλας Πυθοῖ καὶ Ἰσθμίων
Olympia victories as-many and others at-Pytho and of-Isthmian
τε τρεῖς καὶ ἐν Νεμέᾳ πέντε. λέγεται δὲ ὡς καὶ κρέας
both three and at Nemea five is-said and that also meat
ἐσθίειν ἐπινοήσειε· τέως δὲ τοῖς ἀθληταῖς σιτία τυρὸν
to-eat be-devised hitherto and for-the athletes food cheese
ἐκ τῶν ταλάρων εἶναι. τούτου μὲν δὴ Πυθαγόρας
from the baskets to-be of-this indeed indeed Pythagoras
τὴν εἰκόνα, τὴν δὲ ἐφεξῆς ταύτῃ, πένταθλον Ἠλεῖον
the statue the(-one) and next to-this pentathlete Elean
Πυθοκλέα, Πολύκλειτός ἐστιν εἰργασμένος.
Pythocles Polycleitus is having-wrought
Σωκράτους δὲ Πελληνέως δρόμου νίκην ἐν παισὶν 8.1
of-Socrates and Pellenean of-running victory among boys
εἰληφότος καὶ Ἠλείου Ἀμέρτου καταπαλαίσαντος ἐν Ὀλυμπίᾳ
having-taken and of-Elean Amertus having-thrown at Olympia

παῖδας, καταπαλαίσαντος δὲ καὶ Πυθοῖ τοὺς ἐλθόντας
boys having-thrown and also at-Pytho those having-come
τῶν ἀνδρῶν, τοῦ μὲν τὸν ποιήσαντα τὴν εἰκόνα οὐ
of-the men of-the(-one) indeed the(-one) having-made the statue not
λέγουσι, τὴν δὲ τοῦ Ἀμέρτου Φράδμων ἐποίησεν Ἀργεῖος.
they-tell the(-one) and — of-Amertus Phradmon made Argive
Εὐανορίδᾳ δὲ Ἠλείῳ πάλης ἐν παισὶν ὑπῆρξεν ἔν τε
for-Euanoridas and Elean of-wrestling among boys belonged in both
Ὀλυμπίᾳ καὶ Νεμείων νίκη· γενόμενος δὲ Ἑλλανοδίκης
Olympia and of-Nemean victory having-become and umpire
ἔγραψε καὶ οὗτος τὰ ὀνόματα ἐν Ὀλυμπίᾳ τῶν νενικηκότων.
wrote also this-one the names at Olympia of-those having-won
8.2 ἐς δὲ πύκτην ἄνδρα, γένος μὲν Ἀρκάδα ἐκ Παρρασίων,
about and boxer man by-birth indeed Arcadian from Parrhasians
Δάμαρχον δὲ ὄνομα, οὔ μοι πιστὰ ἦν πέρα γε τῆς
Damarchus and by-name not to-me credible were beyond at-least the
ἐν Ὀλυμπίᾳ νίκης ὁπόσα ἄλλα ἀνδρῶν ἀλαζόνων ἐστὶν
at Olympia victory as-many-as other-things by-men boastful are
εἰρημένα, ὡς ἐξ ἀνθρώπου μεταβάλοι τὸ εἶδος ἐς λύκον
told that from man he-changed the form into wolf
ἐπὶ τῇ θυσίᾳ τοῦ Λυκαίου Διός, καὶ ὡς ὕστερον τούτων
at the sacrifice of-the Lycaean Zeus and that later than-these
ἔτει δεκάτῳ γένοιτο αὖθις ἄνθρωπος. οὐ μὴν οὐδὲ ὑπὸ
in-year tenth he-became again man not indeed not-even by
τῶν Ἀρκάδων λέγεσθαί μοι τοῦτο ἐφαίνετο ἐς αὐτόν,
the Arcadians to-be-said to-me this appeared about him

ἐλέγετο γὰρ ἂν καὶ ὑπὸ τοῦ ἐπιγράμματος τοῦ
it-would-have-been-said for — also by the inscription the
ἐν Ὀλυμπίᾳ· ἔχει γὰρ δὴ οὕτως·
at Olympia it-is for indeed thus

υἱὸς Δινύτα Δάμαρχος τάνδ' ἀνέθηκεν
son of-Dinytas Damarchus this dedicated
εἰκόν' ἀπ' Ἀρκαδίας Παρράσιος γενεάν.
statue from Arcadia Parrhasian by-race

τοῦτο μὲν δὴ ἐς τοσοῦτο πεποίηται·
this indeed indeed to so-far is-composed
Εὐβώτας δὲ ὁ Κυρηναῖος, ἅτε τὴν ἐσομένην οἱ 8.3
Eubotas and the Cyrenaean inasmuch-as the going-to-be for-him
δρόμου νίκην ἐν Ὀλυμπίᾳ παρὰ τοῦ μαντείου τοῦ ἐν
of-running victory at Olympia from the oracle the in
Λιβύῃ προπεπυσμένος, τήν τε εἰκόνα ἐπεποίητο πρότερον
Libya having-learned-beforehand the both statue had-made before
καὶ ἐπὶ ἡμέρας τῆς αὐτῆς ἀνηγορεύθη τε νικήσας καὶ
and on day the same was-proclaimed both having-won and
ἀνέθηκε τὴν εἰκόνα. λέγεται δὲ ὡς κρατήσειε καὶ ἅρματι
dedicated the statue is-said and that he-won also with-chariot
ἐπὶ Ὀλυμπιάδος ταύτης ἣ λόγῳ τῷ Ἠλείων ἐστὶ
in Olympiad this which by-account the of-Eleans is
κίβδηλος τῶν ἀγωνοθετησάντων Ἀρκάδων ἕνεκα.
spurious the having-presided Arcadians because-of
Κλεωναίῳ δὲ Τιμάνθει παγκρατίου λαβόντι ἐν ἀνδράσι 8.4
for-Cleonaean and Timanthes of-pancratium having-taken among men
στέφανον καὶ Τροιζηνίῳ Βαύκιδι παλαισταὶς καταβαλόντι
crown and for-Troezenian Baucis wrestlers having-thrown
ἄνδρας, τῷ μὲν τοῦ Ἀθηναίου Μύρωνος, Βαύκιδι δὲ
men for-the(-one) indeed of-the Athenian Myron for-Baucis and

Ναυκύδους ἐστὶν ὁ ἀνδριὰς ἔργον. τῷ δὲ Τιμάνθει τὸ τέλος
of-Naucydes is the statue work — and for-Timanthes the end
τοῦ βίου συμβῆναί φασιν ἐπὶ αἰτίᾳ τοιᾷδε. πεπαῦσθαι
of-the life to-have-come-about they-say for cause such to-have-ceased
μὲν ἀθλοῦντα, ἀποπειρᾶσθαι δὲ ὅμως αὐτὸν ἔτι τῆς
indeed competing to-test but nevertheless himself still of-the
ἰσχύος, τόξον μέγα ἐπὶ ἑκάστης τείνοντα τῆς ἡμέρας,
strength bow great on each drawing the day
ἀποδημῆσαί τε δὴ αὐτὸν καὶ ἐπὶ τῷ τόξῳ τηνικαῦτα
to-have-gone-abroad both indeed him and on the bow at-that-time
ἐκλειφθῆναί οἱ τὴν μελέτην· ὡς δὲ ἐπανήκων οὐχ οἷός
to-have-been-left-off by-him the practice when and returning not able
τε ἔτι τεῖναι τὸ τόξον ἐγίνετο, πῦρ ἀνακαύσας ἀφίησι ζῶντα
— still to-draw the bow he-was fire having-kindled throws alive
ἐς τὴν πυρὰν αὑτόν. ὁπόσα δὲ ἤδη τοιαῦτα ἐγένετο
onto the pyre himself as-many-as and already such came-about
ἐν ἀνθρώποις ἢ καὶ ὕστερόν ποτε ἔσται, μανία μᾶλλον
among men or also later ever will-be madness rather
ἢ ἀνδρία νομίζοιτο ἂν κατά γε ἐμὴν γνώμην.
than courage would-be-thought — according-to at-least my judgment
8.5 μετὰ δὲ τὸν Βαύκιδά εἰσιν ἀθλητῶν Ἀρκάδων εἰκόνες,
after and — Baucis are of-athletes Arcadian statues
Εὐθυμένης τε ἐξ αὐτῆς Μαινάλου, νίκας τὴν μὲν ἀνδρῶν
Euthymenes both from itself Maenalus victories the(-one) indeed of-men
πάλης, τὴν δ' ἔτι πρότερον ἐν παισὶν εἰληφώς, καὶ
of-wrestling the(-other) and still before among boys having-taken and
Ἀζὰν ἐκ Πελλάνας Φίλιππος κρατήσας πυγμῇ παῖδας, καὶ
Azanian from Pellana Philip having-won in-boxing boys and
Κριτόδαμος ἐκ Κλείτορος, ἐπὶ πυγμῇ καὶ οὗτος ἀναγορευθεὶς
Critodamus from Cleitor for boxing also this-one proclaimed
παίδων· τὰς δέ σφισιν εἰκόνας, τὴν μὲν ἐν παισὶ τοῦ
of-boys the and for-them statues the(-one) indeed among boys —

Εὐθυμένους Ἄλυπος, τὴν δὲ τοῦ Δαμοκρίτου Κλέων,
of-Euthymenes Alypus the(-other) and — of-Damocritus Cleon
Φιλίππου δὲ τοῦ Ἀζᾶνος Μύρων τὴν εἰκόνα ἐποίησε. τὰ
of-Philip and the Azanian Myron the statue made the-things
δὲ ἐς Πρόμαχον τὸν Δρύωνος παγκρατιαστὴν Πελληνέα
and about Promachus the son-of-Dryon pancratiast Pellenean
προσέσται μοι καὶ ταῦτα τῷ ἐς Ἀχαιοὺς λόγῳ.
will-belong for-me also these to-the about Achaeans account
Προμάχου δὲ οὐ πόρρω Τιμασίθεος ἀνάκειται γένος Δελφός, 8.6
Promachus and not far Timasitheus is-dedicated by-birth Delphian
Ἀγελάδα μὲν ἔργον τοῦ Ἀργείου, παγκρατίου δὲ δύο μὲν
of-Ageladas indeed work the Argive of-pancratium and two indeed
ἐν Ὀλυμπίᾳ νίκας, τρεῖς δὲ ἀνῃρημένος Πυθοῖ. καὶ αὐτῷ
at Olympia victories three and having-won at-Pytho and for-him
καὶ ἐν πολέμοις ἐστὶν ἔργα τῇ τε τόλμῃ λαμπρὰ καὶ οὐκ
also in wars are deeds in-the both daring brilliant and not
ἀποδέοντα τῇ εὐτυχίᾳ, πλήν γε δὴ τοῦ τελευταίου·
falling-short in-the good-fortune except at-least indeed the last
τοῦτο δὲ αὐτῷ θάνατον τὸ ἐγχείρημα ἤνεγκεν. Ἰσαγόρᾳ
this and for-him death the attempt brought with-Isagoras
γὰρ τῷ Ἀθηναίῳ τὴν ἀκρόπολιν τὴν Ἀθηναίων καταλαβόντι
for the Athenian the acropolis the of-Athenians having-seized
ἐπὶ τυραννίδι μετασχὼν τοῦ ἔργου καὶ ὁ Τιμασίθεος —
for tyranny having-shared of-the deed also — Timasitheus
ἐγένετο γὰρ τῶν ἐγκαταληφθέντων ἐν τῇ ἀκροπόλει —
was for of-those caught-in in the acropolis
θάνατον ζημίαν εὕρετο τοῦ ἀδικήματος παρὰ Ἀθηναίων.
death penalty he-got for-the wrongdoing from Athenians

Theognetus, holding a cone of the cultivated pine, Xenocles, Alcetus, Aristeus, and Taurosthenes, whose win was announced in Aegina by a phantom, follow. Pausanias argues that the Gelon whose chariot stands here was a private man of Gela, not the tyrant of Syracuse. Cleomedes of Astypalaea, mad with grief when the umpires stripped him of his victory for killing Iccus, pulled down a school on its boys and vanished from a chest in Athena's temple; the Pythia made him a hero. Glaucus of Carystus, who hammered a plowshare home with his fist, Damaretus and his son Theopompus, the Tarentine Iccus, later the best trainer of his day, and Cleosthenes of Epidamnus, whose chariot bears its horses' names, follow, with a few boy victors.

9.1 Θεογνήτῳ δὲ Αἰγινήτῃ πάλης μὲν στέφανον λαβεῖν ὑπῆρξεν
for-Theognetus and Aeginetan of-wrestling indeed crown to-take it-fell
ἐν παισί, τὸν δὲ ἀνδριάντα οἱ Πτόλιχος ἐποίησεν
among boys the and statue for-him Ptolichus made
Αἰγινήτης. διδάσκαλοι δὲ ἐγεγόνεσαν Πτολίχῳ μὲν Συννοῶν
Aeginetan teachers and had-been for-Ptolichus indeed Synnoon
ὁ πατήρ, ἐκείνῳ δὲ Ἀριστοκλῆς Σικυώνιος, ἀδελφός τε
the father for-that-one and Aristocles Sicyonian brother both
Κανάχου καὶ οὐ πολὺ τὰ ἐς δόξαν ἐλασσούμενος. ἐφ'
of-Canachus and not much in-the-things toward fame falling-short for
ὅτῳ δὲ ὁ Θεόγνητος πίτυος τῆς γ' ἡμέρου καὶ ῥοιᾶς
what and — Theognetus of-pine the at-least cultivated and of-pomegranate
φέρει καρπόν, ἐμοὶ μὲν οὐχ οἷά τε ἦν συμβαλέσθαι, τάχα
carries fruit for-me indeed not possible — was to-conjecture perhaps
δ' ἂν Αἰγινήταις τισὶν ἐπιχώριος ἐς αὐτὰ ἂν εἴη λόγος.
and — for-Aeginetans some native about them — might-be account
9.2 μετὰ δὲ τὴν εἰκόνα τοῦ ἀνδρὸς ὃν Ἠλεῖοί φασιν
after and the statue of-the man whom Eleans say
οὐ γραφῆναι μετὰ τῶν ἄλλων, ὅτι ἐπὶ κάλπης
not to-have-been-registered with the others because for trotting-mare

ἀνηγορεύθη δρόμῳ, μετὰ τούτου τὴν εἰκόνα Ξενοκλῆς
was-proclaimed in-race after of-this the statue Xenocles
τε Μαινάλιος ἕστηκε παλαιστὰς καταβαλὼν παῖδας καὶ
both Maenalian stands wrestlers having-thrown boys and
Ἄλκετος Ἀλκίνου κρατήσας πυγμῇ παῖδας, Ἀρκὰς καὶ
Alcetus son-of-Alcinus having-won in-boxing boys Arcadian also
οὗτος ἐκ Κλείτορος· καὶ τοῦ μὲν Κλέων, Ξενοκλέους
this-one from Cleitor and of-the(-one) indeed Cleon of-Xenocles
δὲ τὸν ἀνδριάντα Πολύκλειτός ἐστιν εἰργασμένος.
and the statue Polycleitus is having-wrought
Ἀριστεὺς δὲ Ἀργεῖος δολίχου μὲν νίκην ἔσχεν αὐτός, πάλης 9.3
Aristeus and Argive of-long-race indeed victory got himself of-wrestling
δὲ ὁ πατὴρ τοῦ Ἀριστέως Χείμων· ἑστήκασι μὲν δὴ ἐγγὺς
and the father — of-Aristeus Cheimon stand indeed indeed near
ἀλλήλων, ἐποίησε δὲ τὸν μὲν Παντίας Χῖος παρὰ τῷ
one-another made and the(-one) indeed Pantias Chian by the
πατρὶ δεδιδαγμένος Σωστράτῳ, αἱ δὲ εἰκόνες τοῦ Χείμωνος
father taught Sostratus the and statues — of-Cheimon
ἔργον ἐστὶν ἐμοὶ δοκεῖν τῶν δοκιμωτάτων Ναυκύδους, ἥ
work are to-me to-seem of-the most-esteemed of-Naucydes the(-one)
τε ἐν Ὀλυμπίᾳ καὶ ἡ ἐς τὸ ἱερὸν τῆς Εἰρήνης τὸ ἐν
both at Olympia and the(-one) to the sanctuary — of-Peace the in
Ῥώμῃ κομισθεῖσα ἐξ Ἄργους. λέγεται δὲ ὡς Ταυροσθένην
Rome having-been-carried from Argos is-said and that Taurosthenes
καταπαλαίσειεν ὁ Χείμων τὸν Αἰγινήτην καὶ ὡς Ταυροσθένης
threw — Cheimon the Aeginetan and that Taurosthenes
τῇ Ὀλυμπιάδι τῇ ἐφεξῆς καταβάλοι τοὺς ἐσελθόντας ἐς
in-the Olympiad the next threw those having-entered for
τὴν πάλην καὶ ὡς ἐοικὸς Ταυροσθένει φάσμα ἐπ᾽ ἐκείνης
the wrestling and that like to-Taurosthenes apparition on that
τῆς ἡμέρας ἐν Αἰγίνῃ φανὲν ἀπαγγείλειε τὴν νίκην.
the day in Aegina having-appeared announced the victory

9.4 Φίλλην δὲ Ἠλεῖον κρατήσαντα παῖδας πάλῃ Σπαρτιάτης
Philles and Elean having-overcome boys in-wrestling Spartan
Κρατῖνος ἐποίησε. τὰ δὲ ἐς τὸ ἅρμα τὸ Γέλωνος
Cratinus made the-things and about the chariot the of-Gelon
οὐ κατὰ ταὐτὰ δοξάζειν ἐμοί τε παρίστατο καὶ τοῖς
not by the-same to-believe to-me both occurred and to-those
πρότερον ἢ ἐγὼ τὰ ἐς αὐτὸ εἰρηκόσιν, οἳ Γέλωνος
before than I the-things about it having-said who of-Gelon
τοῦ ἐν Σικελίᾳ τυραννήσαντός φασιν ἀνάθημα εἶναι τὸ
the in Sicily having-been-tyrant say offering to-be the
ἅρμα. ἐπίγραμμα μὲν δή ἐστιν αὐτῷ Γέλωνα Δεινομένους
chariot inscription indeed indeed is on-it Gelon son-of-Deinomenes
ἀναθεῖναι Γελῷον, καὶ ὁ χρόνος τούτῳ τῷ Γέλωνί ἐστι
to-have-dedicated Geloan and the time for-this — Gelon is
τῆς νίκης τρίτη πρὸς τὰς ἑβδομήκοντα Ὀλυμπιάδας·
of-the victory third after the seventy Olympiads
9.5 Γέλων δὲ ὁ Σικελίας τυραννήσας Συρακούσας ἔσχεν
Gelon but the of-Sicily having-been-tyrant Syracuse got
Ὑβριλίδου μὲν Ἀθήνῃσιν ἄρχοντος, δευτέρῳ δὲ ἔτει τῆς
of-Hybrilides indeed at-Athens being-archon in-second and year of-the
δευτέρας καὶ ἑβδομηκοστῆς Ὀλυμπιάδος, ἣν Τισικράτης
second and seventieth Olympiad which Tisicrates
ἐνίκα Κροτωνιάτης στάδιον. δῆλα οὖν ὡς Συρακούσιον ἤδη
won Crotoniate stade clear then that Syracusan already
καὶ οὐ Γελῷον ἀναγορεύειν αὐτὸν ἔμελλεν· ἀλλὰ γὰρ ἰδιώτης
and not Geloan to-proclaim himself he-was-going but for private-man
εἴη ἄν τις ὁ Γέλων οὗτος, πατρός τε ὁμωνύμου τῷ
would-be — some — Gelon this of-father both of-the-same-name with-the
τυράννῳ καὶ αὐτὸς ὁμώνυμος. Γλαυκίας δὲ Αἰγινήτης
tyrant and himself of-the-same-name Glaucias and Aeginetan
τό τε ἅρμα καὶ αὐτῷ τῷ Γέλωνι ἐποίησε τὴν εἰκόνα.
the both chariot and for-himself — Gelon made the statue

τῇ δὲ Ὀλυμπιάδι τῇ πρὸ ταύτης Κλεομήδην φασὶν 9.6
in-the and Olympiad the before this Cleomedes they-say
Ἀστυπαλαιέα ὡς Ἴκκῳ πυκτεύων ἀνδρὶ Ἐπιδαυρίῳ τὸν
Astypalaean that with-Iccus boxing man Epidaurian —
Ἴκκον ἀποκτείνειεν ἐν τῇ μάχῃ, καταγνωσθεὶς δὲ ὑπὸ
Iccus killed in the fight having-been-condemned and by
τῶν Ἑλλανοδικῶν ἄδικα εἰργάσθαι καὶ ἀφῃρημένος
the umpires unjust-things to-have-done and having-been-deprived-of
τὴν νίκην ἔκφρων ἐγένετο ὑπὸ τῆς λύπης καὶ ἀνέστρεψε
the victory out-of-his-mind became from the grief and returned
μὲν ἐς Ἀστυπάλαιαν, διδασκαλείῳ δ' ἐπιστὰς ἐνταῦθα
indeed to Astypalaea school and having-come-upon there
ὅσον ἑξήκοντα ἀριθμὸν παίδων ἀνατρέπει τὸν κίονα ὃς
about sixty in-number of-children overturns the column which
τὸν ὄροφον ἀνεῖχεν.
the roof held-up
ἐμπεσόντος δὲ τοῦ ὀρόφου τοῖς παισί, καταλιθούμενος 9.7
having-fallen and the roof on-the children being-stoned
ὑπὸ τῶν ἀστῶν κατέφυγεν ἐς Ἀθηνᾶς ἱερόν· ἐσβάντος δὲ
by the citizens he-took-refuge into of-Athena sanctuary having-gone and
ἐς κιβωτὸν κειμένην ἐν τῷ ἱερῷ καὶ ἐφελκυσαμένου τὸ
into chest lying in the sanctuary and having-drawn-down the
ἐπίθημα, κάματον ἐς ἀνωφελὲς οἱ Ἀστυπαλαιεῖς ἔκαμνον
lid toil to useless the Astypalaeans toiled
ἀνοίγειν τὴν κιβωτὸν πειρώμενοι· τέλος δὲ τὰ ξύλα τῆς
to-open the chest trying finally and the timbers of-the
κιβωτοῦ καταρρήξαντες, ὡς οὔτε ζῶντα Κλεομήδην οὔτε
chest having-broken-down when neither living Cleomedes nor
τεθνεῶτα εὕρισκον, ἀποστέλλουσιν ἄνδρας ἐς Δελφοὺς
dead they-found they-send men to Delphi
ἐρησομένους ὁποῖα ἐς Κλεομήδην τὰ συμβάντα ἦν.
going-to-ask what-sort about Cleomedes the-things having-happened were

9.8 τούτοις χρῆσαι τὴν Πυθίαν φασίν·
to-these to-have-given-oracle the Pythia they-say

ὕστατος ἡρώων Κλεομήδης Ἀστυπαλαιεύς,
last of-heroes Cleomedes Astypalaean
ὃν θυσίαις τιμᾶθ' ἅτε μηκέτι θνητὸν ἐόντα.
whom with-sacrifices honor as no-longer mortal being

Κλεομήδει μὲν οὖν Ἀστυπαλαιεῖς ἀπὸ τούτου τιμὰς ὡς
to-Cleomedes indeed then Astypalaeans from this honors as
ἥρωι νέμουσι·
to-hero assign

9.9 παρὰ δὲ τοῦ Γέλωνος τὸ ἅρμα ἀνάκειται Φίλων, τέχνη
beside and — of-Gelon the chariot is-dedicated Philon art
τοῦ Αἰγινήτου Γλαυκίου. τούτῳ τῷ Φίλωνι Σιμωνίδης ὁ
of-the Aeginetan Glaucias for-this — Philon Simonides the
Λεωπρέπους ἐλεγεῖον δεξιώτατον ἐποίησε·
son-of-Leoprepes elegy most-clever composed

πατρὶς μὲν Κόρκυρα, Φίλων δ' ὄνομ'· εἰμὶ δὲ Γλαύκου
country indeed Corcyra Philon and name I-am and of-Glaucus
υἱὸς καὶ νικῶ πὺξ δύ' Ὀλυμπιάδας.
son and I-win in-boxing two Olympiads

ἀνάκειται καὶ Μαντινεὺς Ἀγαμήτωρ, κρατήσας πυγμῇ
is-dedicated also Mantinean Agametor having-won in-boxing
παῖδας.
boys

10.1 ἐπὶ δὲ τοῖς κατειλεγμένοις ἕστηκεν ὁ Καρύστιος Γλαῦκος·
after and the listed stands the Carystian Glaucus
εἶναι δέ φασιν ἐξ Ἀνθηδόνος τῆς Βοιωτῶν τὸ ἄνωθεν
to-be and they-say from Anthedon the of-Boeotians the from-above

αὐτὸν γένος ἀπὸ Γλαύκου τοῦ ἐν θαλάσσῃ δαίμονος.
him family from Glaucus the in sea deity
πατρὸς δὲ οὗτος ὁ Καρύστιος ἦν Δημύλου, καὶ γῆν
of-father and this the Carystian was Demylus and land
φασιν αὐτὸν κατ᾽ ἀρχὰς ἐργάζεσθαι· ἐκπεσοῦσαν δὲ ἐκ
they-say him at beginnings to-work having-fallen-off and from
τοῦ ἀρότρου τὴν ὕνιν πρὸς τὸ ἄροτρον καθήρμοσε τῇ
the plow the share to the plow fitted with-the
χειρὶ ἀντὶ σφύρας χρώμενος, καί πως
hand instead-of hammer using and somehow
ἐθεάσατο ὁ Δημύλος τὸ ὑπὸ τοῦ παιδὸς ποιούμενον 10.2
saw — Demylus the-thing by the son done
καὶ ἐπὶ τούτῳ πυκτεύσοντα ἐς Ὀλυμπίαν αὐτὸν ἀνήγαγεν.
and for this going-to-box to Olympia him brought
ἔνθα δὴ ὁ Γλαῦκος ἅτε οὐκ ἐμπείρως ἔχων τῆς
there indeed — Glaucus inasmuch-as not experienced being of-the
μάχης ἐτιτρώσκετο ὑπὸ τῶν ἀνταγωνιζομένων, καὶ ἡνίκα
fight was-wounded by the opponents and when
πρὸς τὸν λειπόμενον ἐξ αὐτῶν ἐπύκτευεν, ἀπαγορεύειν
against the remaining of them be-boxed to-be-giving-up
ὑπὸ πλήθους τῶν τραυμάτων ἐνομίζετο· καί οἱ τὸν
from multitude of-the wounds he-was-thought and to-him the
πατέρα βοῆσαί φασιν “ὦ παῖ τὴν ἀπ᾽ ἀρότρου”. οὕτω
father to-have-shouted they-say o son the from plow thus
γε δὴ βιαιοτέραν ἐς τὸν ἀνταγωνιζόμενον ἐνεγκὼν
at-least indeed more-violent at the opponent having-brought
τὴν πληγὴν αὐτίκα εἶχε τὴν νίκην.
the blow at-once had the victory
στεφάνους δὲ λέγεται καὶ ἄλλους Πύθια μὲν δὶς λαβεῖν, 10.3
crowns and is-said also other Pythian indeed twice to-take
Νεμείων δὲ καὶ Ἰσθμίων ὀκτάκις ἐν ἑκατέρῳ ἀγῶνι.
of-Nemean and and of-Isthmian eight-times in each contest

τοῦ Γλαύκου δὲ τὴν εἰκόνα ἀνέθηκε μὲν ὁ παῖς
— *of-Glaucus and the statue dedicated indeed the son*
αὐτοῦ, Γλαυκίας δὲ Αἰγινήτης ἐποίησε· σκιαμαχοῦντος
his Glaucias and Aeginetan made of-one-shadow-boxing
δὲ ὁ ἀνδριὰς παρέχεται σχῆμα, ὅτι ὁ Γλαῦκος ἦν
and the statue presents posture because — Glaucus was
ἐπιτηδειότατος τῶν κατ' αὐτὸν χειρονομῆσαι πεφυκώς.
most-apt of-those in his-time to-spar being-by-nature
ἀποθανόντα δὲ οἱ Καρύστιοι ταφῆναί φασιν αὐτὸν
having-died and the Carystians to-have-been-buried say him
ἐν νήσῳ καλουμένῃ Γλαύκου καὶ ἐς ἡμᾶς ἔτι.
on island called of-Glaucus even to us still

10.4 Δαμαρέτῳ δὲ Ἡραιεῖ υἱῷ τε τοῦ Δαμαρέτου καὶ υἱωνῷ δύο
to-Damaretus and Heraean son both — of-Damaretus and grandson two
ἐν Ὀλυμπίᾳ γεγόνασιν ἑκάστῳ νῖκαι, Δαμαρέτῳ μὲν πέμπτῃ
at Olympia came-about to-each victories to-Damaretus indeed in-fifth
ἐπὶ ταῖς ἑξήκοντα Ὀλυμπιάδι, ὅτε ἐνομίσθη πρῶτον ὁ τοῦ
after the sixty Olympiad when was-instituted first the of-the
ὁπλίτου δρόμος, καὶ ὡσαύτως τῇ ἐφεξῆς — πεποίηται ὁ
hoplite race and likewise in-the next is-made the
ἀνδριὰς ἀσπίδα τε κατὰ τὰ αὐτὰ ἔχων τοῖς ἐφ' ἡμῶν καὶ
statue shield both in the same holding as-those in our-time and
κράνος ἐπὶ τῇ κεφαλῇ καὶ κνημῖδας ἐπὶ τοῖς ποσί· ταῦτα
helmet on the head and greaves on the feet these
μὲν δὴ ἀνὰ χρόνον ὑπό τε Ἠλείων καὶ ὑπὸ Ἑλλήνων
indeed indeed in-course-of time by both Eleans and by Greeks
τῶν ἄλλων ἀφῃρέθη τοῦ δρόμου—, Θεοπόμπῳ δὲ τῷ
the others were-taken-away from-the race to-Theopompus and the
Δαμαρέτου καὶ αὖθις ἐκείνου παιδὶ ὁμωνύμῳ ἐπὶ πεντάθλῳ,
son-of-Damaretus and again of-that-one son of-the-same-name for pentathlon
Θεοπόμπῳ δὲ τῷ δευτέρῳ πάλης ἐγένοντο αἱ νῖκαι.
to-Theopompus and the second of-wrestling came-about the victories

τὴν δὲ εἰκόνα Θεοπόμπου μὲν τοῦ παλαίσαντος τὸν 10.5
the and statue of-Theopompus indeed the wrestler the(-one)
ποιήσαντα οὐκ ἴσμεν, τὰς δὲ τοῦ πατρὸς αὐτοῦ καὶ
having-made not we-know those but of-the father his and
τοῦ πάππου φησὶ τὸ ἐπίγραμμα Εὐτελίδα τε εἶναι
of-the grandfather says the inscription of-Eutelidas both to-be
καὶ Χρυσοθέμιδος Ἀργείων· οὐ μὴν παρ᾽ ὅτῳ γε
and of-Chrysothemis Argives not indeed with whom at-least
ἐδιδάχθησαν δεδήλωκεν, ἔχει γὰρ δὴ οὕτως·
they-were-taught has-shown it-is for indeed thus

Εὐτελίδας καὶ Χρυσόθεμις τάδε ἔργα τέλεσσαν
Eutelidas and Chrysothemis these works completed
Ἀργεῖοι, τέχναν εἰδότες ἐκ προτέρων.
Argives art knowing from those-before

Ἴκκος δὲ ὁ Νικολαΐδα Ταραντῖνος τόν τε Ὀλυμπικὸν
Iccus and the son-of-Nicolaidas Tarentine the both Olympic
στέφανον ἔσχεν ἐπὶ πεντάθλῳ καὶ ὕστερον γυμναστὴς
crown got for pentathlon and later trainer
ἄριστος λέγεται τῶν ἐφ᾽ αὑτοῦ γενέσθαι·
best is-said of-those in his-time to-have-been
μετὰ δὲ Ἴκκον καταπαλαίσας παῖδας Παντάρκης ἕστηκεν 10.6
after and Iccus having-thrown boys Pantarces stands
Ἠλεῖος ὁ ἐρώμενος Φειδίου. ἐπὶ δὲ τῷ Παντάρκει
Elean the beloved of-Phidias after and — Pantarces
Κλεοσθένους ἐστὶν ἅρμα ἀνδρὸς Ἐπιδαμνίου· τοῦτο ἔργον
of-Cleosthenes is chariot of-man Epidamnian this work
μέν ἐστιν Ἀγελάδα, ἕστηκε δὲ ὄπισθεν τοῦ Διὸς τοῦ ἀπὸ
indeed is of-Ageladas it-stands and behind — Zeus the from
τῆς μάχης τῆς Πλαταιᾶσιν ἀνατεθέντος ὑπὸ Ἑλλήνων.
the battle the at-Plataea dedicated by Greeks

ἐνίκα μὲν δὴ τὴν ἕκτην Ὀλυμπιάδα καὶ ἑξηκοστὴν ὁ
won indeed indeed the sixth Olympiad and sixtieth —
Κλεοσθένης, ἀνέθηκε δὲ ὁμοῦ τοῖς ἵπποις αὐτοῦ τε
Cleosthenes dedicated and together-with the horses of-himself both
εἰκόνα καὶ τὸν ἡνίοχον.
statue and the charioteer

10.7 ἐπιγέγραπται δὲ καὶ τῶν ἵππων τὰ ὀνόματα Φοῖνιξ
are-inscribed and also of-the horses the names Phoenix
καὶ Κόραξ, ἑκατέρωθεν δὲ οἱ παρὰ τὸ ζυγόν, κατὰ
and Corax on-each-side and the(-ones) by the yoke on
μὲν τὰ δεξιὰ Κνακίας, ἐν δὲ τῇ ἀριστερᾷ Σάμος· καὶ
indeed the right Cnacias on and the left Samus and
ἐλεγεῖον τόδε ἐστὶν ἐπὶ τῷ ἅρματι·
elegy this is on the chariot

Κλεοσθένης μ᾽ ἀνέθηκεν ὁ Πόντιος ἐξ Ἐπιδάμνου,
Cleosthenes me dedicated the son-of-Pontis from Epidamnus
νικήσας ἵπποις καλὸν ἀγῶνα Διός.
having-won with-horses beautiful contest of-Zeus

10.8 τῶν δὲ ἱπποτροφησάντων ἐν Ἕλλησι πρῶτος ἐς Ὀλυμπίαν
of-the and having-bred-horses among Greeks first to Olympia
εἰκόνα ἀνέθηκεν ὁ Κλεοσθένης οὗτος. τὰ γὰρ Μιλτιάδου τοῦ
statue dedicated — Cleosthenes this the for of-Miltiades the
Ἀθηναίου καὶ Εὐαγόρου τοῦ Λάκωνος ἀναθήματα, τοῦ
Athenian and of-Euagoras the Laconian offerings of-the(-one)
μὲν ἅρματά ἐστιν, οὐ μὴν καὶ αὐτὸς ἐπὶ τοῖς ἅρμασιν
indeed chariots are not indeed also himself on the chariots
Εὐαγόρας· τὰ Μιλτιάδου δέ, ὁποῖα ἐς Ὀλυμπίαν
Euagoras the(-ones) of-Miltiades and what-sort to Olympia
ἀνέθηκεν, ἑτέρωθι δὴ δηλώσω τοῦ λόγου. Ἐπιδάμνιοι
he-dedicated elsewhere indeed I-will-make-clear in-the account Epidamnians

δὲ χώραν μὲν ἥνπερ καὶ ἐξ ἀρχῆς, πόλιν δὲ οὐ τὴν
and land indeed which-very also from beginning city but not the
ἀρχαίαν ἐπὶ ἡμῶν ἔχουσιν, ἐκείνης δὲ ἀφεστηκυῖαν ὀλίγον·
ancient in our-time hold from-that and standing-off a-little
ὄνομα δὲ τῇ πόλει τῇ νῦν Δυρράχιον ἀπὸ τοῦ οἰκιστοῦ.
name and for-the city the now Dyrrhachium from the founder
Λυκῖνον δὲ Ἡραιέα καὶ Ἐπικράδιον Μαντινέα καὶ 10.9
Lycinus and Heraean and Epicradius Mantinean and
Τέλλωνα Ὀρεσθάσιον καὶ Ἠλεῖον Ἀγιάδαν ἐν παισὶν
Tellon Oresthasian and Elean Agiadas among boys
ἀνελομένους νίκας, Λυκῖνον μὲν δρόμου, τοὺς δὲ ἐπ᾽ αὐτῷ
having-won victories Lycinus indeed of-running those and after him
κατειλεγμένους πυγμῆς, Ἐπικράδιον μὲν καὶ Ἀγιάδαν,
listed of-boxing Epicradius indeed and Agiadas
τὸν μὲν αὐτῶν Πτόλιχος Αἰγινήτης ἐποίησε, τὸν δὲ
the(-one) indeed of-them Ptolichus Aeginetan made — and
Ἀγιάδαν Σήραμβος, γένος καὶ οὗτος Αἰγινήτης· Λυκίνου
Agiadas Serambus by-birth also this-one Aeginetan of-Lycinus
δέ ἐστιν ὁ ἀνδριὰς Κλέωνος τέχνη· τὸν δὲ Τέλλωνα
and is the statue of-Cleon art — and Tellon
ὅστις εἰργάσατο, οὐ μνημονεύουσιν.
who wrought not they-record

Statues of Philip, Alexander, Seleucus, and Antigonus stand among the athletes. Theagenes of Thasos, whose mother the Thasians say lay with a phantom of Heracles, carried a bronze statue home from the marketplace at nine. He won the boxing and the pancratium and counted fourteen hundred crowns. After his death an enemy flogged his statue by night until it fell and killed him; the Thasians threw the statue into the sea, the land bore no crops, and the Pythia had them recall their exiles and then Theagenes, whose statue fishermen drew up in a net. Theagenes is worshiped as a god who heals. Near him are the chariot of Hiero, son of Deinomenes, and the statues of the later Hiero, who left Carthage for Rome and was killed by Deinomenes; his sons dedicated them. Areus, Aratus, Timon, Callon, Hippomachus, Theochrestus, and Agesarchus of Tritaea follow; Pausanias rejects the inscription's claim that the Tritaeans are Arcadians.

11.1 ἐφεξῆς τούτων ἀναθήματά ἐστιν Ἠλείων, Φίλιππος ὁ
next these offerings are of-Eleans Philip the
Ἀμύντου καὶ Ἀλέξανδρος ὁ Φιλίππου καὶ Σέλευκός τε
son-of-Amyntas and Alexander the son-of-Philip and Seleucus both
καὶ Ἀντίγονος· τοῖς μὲν δὴ ἐφ᾽ ἵπποων, Ἀντιγόνῳ
and Antigonus for-the(-ones) indeed indeed on horses for-Antigonus
δὲ ἀνὴρ πεζός ἐστιν ἡ εἰκών.
but man on-foot is the statue

11.2 τῶν δὲ βασιλέων τῶν εἰρημένων ἕστηκεν οὐ πόρρω
of-the and kings the said stands not far
Θεαγένης ὁ Τιμοσθένους Θάσιος· Θάσιοι δὲ οὐ Τιμοσθένους
Theagenes the son-of-Timosthenes Thasian Thasians but not of-Timosthenes
παῖδα εἶναι Θεαγένην φασίν, ἀλλὰ ἱερᾶσθαι μὲν Ἡρακλεῖ
son to-be Theagenes say but to-be-priest indeed to-Heracles
τὸν Τιμοσθένην Θασίῳ, τοῦ Θεαγένους δὲ τῇ μητρὶ
— Timosthenes Thasian — of-Theagenes and with-the mother
Ἡρακλέους συγγενέσθαι φάσμα ἐοικὸς Τιμοσθένει. ἔνατόν τε
of-Heracles to-have-lain phantom like to-Timosthenes ninth both

δὴ ἔτος εἶναι τῷ παιδὶ καὶ αὐτὸν ἀπὸ τῶν διδασκάλων
indeed year to-be for-the boy and him from the teachers
φασὶν ἐς τὴν οἰκίαν ἐρχόμενον ἄγαλμα ὅτου δὴ θεῶν
they-say to the house going statue of-whatever indeed of-gods
ἀνακείμενον ἐν τῇ ἀγορᾷ χαλκοῦν — χαίρειν γὰρ τῷ
dedicated in the market-place bronze to-delight for in-the
ἀγάλματι αὐτόν—, ἀνασπάσαι τε δὴ τὸ ἄγαλμα καὶ ἐπὶ
statue him to-have-pulled-up both indeed the statue and on
τὸν ἕτερον τῶν ὤμων ἀναθέμενον ἐνεγκεῖν παρ᾽ αὐτόν.
the one of-the shoulders having-put to-have-carried to himself
ἐχόντων δὲ ὀργὴν ἐς αὐτὸν ἐπὶ τῷ πεποιημένῳ τῶν 11.3
having and anger toward him for the deed of-the
πολιτῶν, ἀνήρ τις αὐτῶν δόκιμος καὶ ἡλικίᾳ προήκων
citizens man some of-them esteemed and in-age advanced
ἀποκτεῖναι μὲν σφᾶς τὸν παῖδα οὐκ ἐᾷ, ἐκεῖνον δὲ
to-kill indeed them the boy not allows that-one but
ἐκέλευσεν ἐκ τῆς οἰκίας αὖθις κομίσαι τὸ ἄγαλμα ἐς τὴν
bade from the house again to-carry the statue to the
ἀγοράν· ὡς δὲ ἤνεγκε, μέγα αὐτίκα ἦν κλέος τοῦ παιδὸς
market-place when and he-carried great at-once was fame of-the boy
ἐπὶ ἰσχύι, καὶ τὸ ἔργον ἀνὰ πᾶσαν ἐβεβόητο τὴν Ἑλλάδα.
for strength and the deed through all was-noised — Greece
ὅσα μὲν δὴ ἔργων τῶν Θεαγένους ἐς τὸν ἀγῶνα 11.4
as-many-as indeed indeed of-deeds the of-Theagenes to the contest
ἥκει τὸν Ὀλυμπικόν, προεδήλωσεν ὁ λόγος ἤδη μοι
come the Olympic made-clear-before the account already for-me
τὰ δοκιμώτατα ἐξ αὐτῶν, Εὔθυμόν τε ὡς κατεμαχέσατο
the most-esteemed of them Euthymus both how he-defeated
τὸν πύκτην καὶ ὡς ὑπὸ Ἠλείων ἐπεβλήθη τῷ Θεαγένει
the boxer and how by Eleans was-imposed — on-Theagenes
ζημία. τότε μὲν δὴ τοῦ παγκρατίου τὴν νίκην ἀνὴρ ἐκ
fine then indeed indeed of-the pancratium the victory man from

Μαντινείας Δρομεὺς ὄνομα πρῶτος ὧν ἴσμεν ἀκονιτὶ
Mantinea Dromeus by-name first of-whom we-know without-dust
λέγεται λαβεῖν· τὴν δὲ Ὀλυμπιάδα τὴν ἐπὶ ταύτῃ
is-said to-have-taken the and Olympiad the after this
παγκρατιάζων ὁ Θεαγένης ἐκράτει.
competing-in-pancratium — Theagenes won

11.5 γεγόνασι δὲ αὐτῷ καὶ Πυθοῖ νῖκαι τρεῖς, αὗται μὲν ἐπὶ
came-about and for-him also at-Pytho victories three these indeed for
πυγμῇ, Νεμείων δὲ ἐννέα καὶ Ἰσθμίων δέκα παγκρατίου
boxing of-Nemean and nine and of-Isthmian ten of-pancratium
τε ἀναμὶξ καὶ πυγμῆς. ἐν Φθίᾳ δὲ τῇ Θεσσαλῶν πυγμῆς
both together and of-boxing in Phthia and the of-Thessalians of-boxing
μὲν ἢ παγκρατίου παρῆκε τὴν σπουδήν, ἐφρόντιζε δὲ ὅπως
indeed or of-pancratium he-dropped the zeal took-thought but how
καὶ ἐπὶ δρόμῳ ἐμφανὴς ἐν Ἕλλησιν εἴη, καὶ τοὺς
also in running conspicuous among Greeks he-might-be and those
ἐσελθόντας ἐς τὸν δόλιχον ἐκράτησεν· ἦν δέ οἱ πρὸς
having-entered for the long-race he-defeated was and for-him toward
Ἀχιλλέα ἐμοὶ δοκεῖν τὸ φιλοτίμημα, ἐν πατρίδι τοῦ ὠκίστου
Achilles to-me to-seem the ambition in country of-the swiftest
τῶν καλουμένων ἡρώων ἀνελέσθαι δρόμου νίκην. τοὺς δὲ
of-the called heroes to-win of-running victory the and
σύμπαντας στεφάνους τετρακοσίους τε ἔσχε καὶ χιλίους.
all-together crowns four-hundred both he-had and thousand

11.6 ὡς δὲ ἀπῆλθεν ἐξ ἀνθρώπων, ἀνὴρ τῶν τις ἀπηχθημένων
when and he-departed from men man of-those some hostile
ζῶντι αὐτῷ παρεγίνετο ἀνὰ πᾶσαν νύκτα ἐπὶ τοῦ
to-living him came through every night to —
Θεαγένους τὴν εἰκόνα καὶ ἐμαστίγου τὸν χαλκὸν ἅτε αὐτῷ
of-Theagenes the statue and flogged the bronze as himself
Θεαγένει λυμαινόμενος· καὶ τὸν μὲν ὁ ἀνδριὰς ἐμπεσὼν
Theagenes outraging and him indeed the statue having-fallen-on

ὕβρεως παύει, τοῦ ἀνθρώπου δὲ τοῦ ἀποθανόντος οἱ παῖδες
from-outrage stops of-the man and the dead the sons
τῇ εἰκόνι ἐπεξῄεσαν φόνου. καὶ οἱ Θάσιοι καταποντοῦσι τὴν
the statue prosecuted for-murder and the Thasians sink-in-the-sea the
εἰκόνα ἐπακολουθήσαντες γνώμῃ τῇ Δράκοντος, ὃς Ἀθηναίοις
statue having-followed judgment the of-Draco who for-Athenians
θεσμοὺς γράψας φονικοὺς ὑπερώρισε καὶ τὰ ἄψυχα,
laws having-written homicide banished also the lifeless-things
εἴγε ἐμπεσόν τι ἐξ αὐτῶν ἀποκτείνειεν ἄνθρωπον.
if having-fallen something of them should-kill man
ἀνὰ χρόνον δέ, ὡς τοῖς Θασίοις οὐδένα ἀπεδίδου 11.7
in-course-of time and when to-the Thasians no gave-back
καρπὸν ἡ γῆ, θεωροὺς ἀποστέλλουσιν ἐς Δελφούς, καὶ
fruit the land sacred-envoys they-send to Delphi and
αὐτοῖς ἔχρησεν ὁ θεὸς καταδέχεσθαι τοὺς δεδιωγμένους.
to-them gave-oracle the god to-receive-back those having-been-banished
καὶ οἱ μὲν ἐπὶ τῷ λόγῳ τούτῳ καταδεχθέντες
and the(-ones) indeed on the word this having-been-received-back
οὐδὲν τῆς ἀκαρπίας παρείχοντο ἴαμα· δεύτερα οὖν ἐπὶ
no of-the barrenness offered cure second-time then to
τὴν Πυθίαν ἔρχονται, λέγοντες ὡς καὶ ποιήσασιν αὐτοῖς
the Pythia they-come saying that even having-done to-them
τὰ χρησθέντα διαμένοι τὸ ἐκ τῶν θεῶν μήνιμα.
the-things ordained remained the from the gods wrath
ἐνταῦθα ἀπεκρίνατό σφισιν ἡ Πυθία· 11.8
there answered to-them the Pythia

Θεαγένην δ' ἄμνηστον ἀφήκατε τὸν μέγαν ὑμέων.
Theagenes and unremembered you-have-left the great of-you

ἀπορούντων δὲ αὐτῶν ὁποίᾳ μηχανῇ τοῦ Θεαγένους τὴν
being-at-a-loss and they by-what device — of-Theagenes the
εἰκόνα ἀνασώσωνται, φασὶν ἁλιέας ἀναχθέντας ἐς τὸ
statue they-might-recover they-say fishermen having-put-to-sea into the
πέλαγος ἐπὶ ἰχθύων θήραν περισχεῖν τῷ δικτύῳ τὴν εἰκόνα
sea for of-fish catch to-have-enclosed in-the net the statue
καὶ ἀνενεγκεῖν αὖθις ἐς τὴν γῆν· Θάσιοι δὲ ἀναθέντες,
and to-have-brought-up again to the land Thasians and having-set-it-up
ἔνθα καὶ ἐξ ἀρχῆς ἔκειτο, νομίζουσιν ἅτε θεῷ θύειν.
where also from beginning it-lay are-wont as to-god to-sacrifice
11.9 πολλαχοῦ δὲ καὶ ἑτέρωθι ἔν τε Ἕλλησιν οἶδα καὶ παρὰ
in-many-places and also elsewhere among both Greeks I-know and among
βαρβάροις ἀγάλματα ἱδρυμένα Θεαγένους καὶ νοσήματά
barbarians statues set-up of-Theagenes and diseases
τε αὐτὸν ἰώμενον καὶ ἔχοντα παρὰ τῶν ἐπιχωρίων τιμάς.
both him healing and having from the natives honors
ὁ δὲ ἀνδριὰς τοῦ Θεαγένους ἐστὶν ἐν τῇ Ἄλτει, τέχνη
the and statue — of-Theagenes is in the Altis art
τοῦ Αἰγινήτου Γλαυκίου.
of-the Aeginetan Glaucias
12.1 πλησίον δὲ ἅρμα τέ ἐστι χαλκοῦν καὶ ἀνὴρ ἀναβεβηκὼς
near and chariot both is of-bronze and man having-mounted
ἐπ᾽ αὐτό, κέλητες δὲ ἵπποι παρὰ τὸ ἅρμα εἷς ἑκατέρωθεν
on it race-horse and horses beside the chariot one on-each-side
ἕστηκε καὶ ἐπὶ τῶν ἵππων καθέζονται παῖδες· ὑπομνήματα
stands and on the horses sit boys memorials
δὲ ἐπὶ νίκαις Ὀλυμπικαῖς ἐστιν Ἱέρωνος τοῦ Δεινομένους
and for victories Olympic are of-Hiero the son-of-Deinomenes
τυραννήσαντος Συρακουσίων μετὰ τὸν ἀδελφὸν Γέλωνα.
having-been-tyrant of-Syracusans after the brother Gelon
τὰ δὲ ἀναθήματα οὐχ Ἱέρων ἀπέστειλεν, ἀλλ᾽ ὁ μὲν
the and offerings not Hiero sent but the(-one) indeed

ἀποδοὺς τῷ θεῷ Δεινομένης ἐστὶν ὁ Ἱέρωνος, ἔργα δὲ
having-paid to-the god Deinomenes is the son-of-Hiero works and
τὸ μὲν Ὀνάτα τοῦ Αἰγινήτου τὸ ἅρμα, Καλάμιδος δὲ οἱ
the indeed of-Onatas the Aeginetan the chariot of-Calamis and the
ἵπποι τε οἱ ἑκατέρωθεν καὶ ἐπ᾽ αὐτῶν εἰσιν οἱ παῖδες.
horses both the on-each-side and on them are the boys
παρὰ δὲ τοῦ Ἱέρωνος τὸ ἅρμα ἀνήρ ἐστιν ὁμώνυμός τε 12.2
beside and — of-Hiero the chariot man is of-the-same-name both
τῷ Δεινομένους καὶ ἐν Συρακούσαις καὶ οὗτος τυραννήσας,
with-the son-of-Deinomenes and in Syracuse also this-one having-been-tyrant
Ἱέρων δὲ ἐκαλεῖτο Ἱεροκλέους· μετὰ δὲ τὴν Ἀγαθοκλέους
Hiero and was-called son-of-Hierocles after and the of-Agathocles
τοῦ πρότερον τυραννήσαντος τελευτὴν Συρακουσίοις αὖθις
the before having-been-tyrant death for-Syracusans again
ἀναπεφύκει τύραννος ὁ Ἱέρων οὗτος, τὴν δὲ ἀρχὴν εἶχεν
had-sprung-up tyrant — Hiero this the and rule held
ἔτει δευτέρῳ τῆς ἕκτης Ὀλυμπιάδος ἐπὶ ταῖς εἴκοσι καὶ
in-year second of-the sixth Olympiad after the twenty and
ἑκατόν, ἣν Κυρηναῖος στάδιον ἐνίκησεν Ἰδαῖος.
hundred which Cyrenaean stade won Idaeus
οὗτος ὁ Ἱέρων ξενίαν πρὸς Πύρρον τὸν Αἰακίδου καὶ 12.3
this — Hiero guest-friendship with Pyrrhus the son-of-Aeacides and
ὁμοῦ τῇ ξενίᾳ καὶ ἐπιγαμίαν ἐποιήσατο, Γέλωνι
together-with the guest-friendship also marriage-alliance made for-Gelon
τῷ παιδὶ Νηρηίδα ἀγαγόμενος τὴν Πύρρου. Ῥωμαίων
the son Nereis having-taken the daughter-of-Pyrrhus of-Romans
δὲ περὶ Σικελίας ἐς τὴν πρὸς Καρχηδονίους πόλεμον
and about Sicily into the against Carthaginians war
καταστάντων εἶχον μὲν οἱ Καρχηδόνιοι τῆς νήσου πλέον
having-entered held indeed the Carthaginians of-the island more
ἢ ἥμισυ, Ἱέρωνι δὲ συνιόντων μὲν ἄρτι ἐς τὸν πόλεμον
than half to-Hiero and coming-together indeed just into the war

ἑλέσθαι τὰ Καρχηδονίων ἤρεσε, μετὰ δὲ οὐ πολὺ
to-choose the-side of-Carthaginians pleased after and not long
δυνάμει τε εἶναι νομίζων τὰ Ῥωμαίων ἐχυρώτερα καὶ
in-power both to-be thinking the-affairs of-Romans stronger and
βεβαιότερα ἅμα ἐς φιλίαν μετεβάλετο ὡς τούτους.
more-secure at-once into friendship changed to these
12.4 τοῦ δέ οἱ βίου συνέβη γενέσθαι τὴν τελευτὴν ὑπὸ
of-the and his life it-befell to-come-about the end by
Δεινομένους, γένος μὲν Συρακουσίου, δυσμενέστατα δὲ
Deinomenes by-birth indeed Syracusan most-hostilely but
ἀνδρὸς ἐς τυραννίδα ἔχοντος, ὃς καὶ ὕστερον τούτων
man toward tyranny being who also later than-these
Ἱπποκράτει τῷ ἀδελφῷ τῷ Ἐπικύδους ἐξ Ἐρβησσοῦ
at-Hippocrates the brother the of-Epicydes from Erbessus
παρεληλυθότι ἄρτι ἐς Συρακούσας καὶ ἐς τὸ πλῆθος
having-come just to Syracuse and to the multitude
ποιεῖσθαι λόγους ἀρχομένῳ ἐπέδραμεν ὡς ἀποκτενῶν
to-make speeches beginning ran as going-to-kill
τὸν Ἱπποκράτην· τοῦ δέ οἱ ἀντιστάντος, κρατήσαντες
— Hippocrates of-the and him having-resisted having-overpowered
τῶν δορυφόρων ἄλλοι διαφθείρουσι τὸν Δεινομένην. τοὺς
of-the bodyguards others destroy — Deinomenes the
ἀνδριάντας δὲ τοῦ Ἱέρωνος ἐν Ὀλυμπίᾳ, ἐφ' ἵππου τὸν
statues and — of-Hiero at Olympia on horse the
ἕτερον, τὸν δὲ αὐτῶν πεζόν, ἀνέθεσαν μὲν τοῦ Ἱέρωνος
one the(-other) and of-them on-foot dedicated indeed — of-Hiero
οἱ παῖδες, ἐποίησε δὲ Μίκων Νικηράτου Συρακούσιος.
the sons made and Micon son-of-Niceratus Syracusan
12.5 μετὰ δὲ τοῦ Ἱέρωνος τὰς εἰκόνας Ἀρεὺς ὁ Ἀκροτάτου
after and — of-Hiero the statues Areus the son-of-Acrotatus
Λακεδαιμονίων βασιλεὺς καὶ Ἄρατος ἕστηκεν ὁ Κλεινίου,
of-Lacedaemonians king and Aratus stands the son-of-Cleinias

καὶ αὖθις ἀναβεβηκώς ἐστιν Ἀρεὺς ἵππον. ἀνάθημα δὲ
and again having-mounted is Areus horse offering and
ὁ μὲν Κορινθίων ὁ Ἄρατος, Ἀρεὺς δὲ Ἠλείων ἐστί·
the(-one) indeed of-Corinthians — Aratus Areus and of-Eleans is
καί μοι τοῦ λόγου τὰ πρότερα οὔτε τῶν ἐς Ἄρατον
and for-me of-the account the earlier-parts neither of-the-things about Aratus
οὔτε τῶν ἐς Ἀρέα ἀμνημόνως ἔσχεν, Ἄρατος δὲ
nor of-the-things about Areus unmindfully held Aratus and
καὶ ἅρματι ἀνηγορεύθη νικῶν ἐν Ὀλυμπίᾳ.
also with-chariot was-proclaimed winning at Olympia
Τίμωνι δὲ τῷ Αἰσύπου καθέντι ἐς Ὀλυμπίαν ἵππους ἀνδρὶ 12.6
for-Timon and the son-of-Aesypus having-entered at Olympia horses man
Ἠλείῳ ∗∗∗ ἐστι τοῦτο χαλκοῦν, ἐπ᾽ αὐτὸν ἀναβέβηκε
Elean (lacuna) is this of-bronze on it has-mounted
παρθένος, ἐμοὶ δοκεῖν Νίκη. Κάλλωνα δὲ τὸν Ἁρμοδίου καὶ
maiden to-me to-seem Victory Callon and the son-of-Harmodius and
τὸν Μοσχίωνος Ἱππόμαχον, γένος τε Ἠλείους καὶ πυγμῇ
the son-of-Moschion Hippomachus by-birth both Eleans and in-boxing
κρατήσαντας ἐν παισί, τὸν μὲν αὐτῶν ἐποίησε Δάιππος,
having-won among boys the(-one) indeed of-them made Daippus
Ἱππομάχου δὲ ὅστις μὲν τὸν ἀνδριάντα εἰργάσατο οὐκ
of-Hippomachus and whoever indeed the statue wrought not
ἴσμεν, καταμαχέσασθαι δὲ τρεῖς φασιν ἀνταγωνιστὰς αὐτὸν
we-know to-have-defeated and three they-say competitors him
οὔτε πληγὴν ἀποδεξάμενον οὔτε τι τρωθέντα τοῦ σώματος.
neither blow having-received nor at-all wounded of-the body
Θεόχρηστον δὲ Κυρηναῖον ἱπποτροφήσαντα κατὰ τὸ 12.7
Theochrestus and Cyrenaean having-bred-horses according-to the
ἐπιχώριον τοῖς Λίβυσι καὶ αὐτόν τε ἐν Ὀλυμπίᾳ καὶ
native-custom for-the Libyans and himself both at Olympia and
ἔτι πρότερον τὸν ὁμώνυμόν τε αὐτῷ καὶ τοῦ πατρὸς
still before the namesake both with-him and of-the father

πατέρα, τούτους μὲν ἐνταῦθα ἵππων νίκας, ἐν δὲ Ἰσθμῷ
father these indeed there of-horses victories at and Isthmus
τοῦ Θεοχρήστου λαβεῖν τὸν πατέρα, τὸ ἐπίγραμμα
— of-Theochrestus to-have-taken the father the inscription
δηλοῖ τὸ ἐπὶ τῷ ἅρματι.
shows the on the chariot

12.8 Ἀγήσαρχον δὲ τὸν Αἱμοστράτου Τριταιέα κρατῆσαι μὲν
Agesarchus and the son-of-Haemostratus Tritaean to-have-overcome indeed
πύκτας ἄνδρας ἐν Ὀλυμπίᾳ καὶ Νεμέᾳ τε καὶ Πυθοῖ καὶ
boxers men at Olympia and Nemea both and at-Pytho and
ἐν Ἰσθμῷ μαρτυρεῖ τὸ ἐλεγεῖον, Ἀρκάδας δὲ τοὺς Τριταιεῖς
at Isthmus bears-witness the elegy Arcadians and the Tritaeans
εἶναι τοῦ ἐλεγείου λέγοντος οὐκ ἀληθεύοντα εὕρισκον.
to-be of-the elegy saying not telling-the-truth I-found
πόλεων γὰρ τῶν ἐν Ἀρκαδίᾳ ταῖς μὲν ἐπειλημμέναις
of-cities for of-the in Arcadia to-the(-ones) indeed having-attained
δόξης οὐδὲ τὰ ἐς τοὺς οἰκιστὰς ἐστιν ἄγνωστα,
fame not-even the-things about the founders are unknown
τὰς δὲ ἐξ ἀρχῆς τε ὑπὸ ἀσθενείας ἀφανεστέρας καὶ
the(-others) and from beginning both through weakness more-obscure and
δι' αὐτὸ ἀνοικισθείσας ἐς Μεγάλην πόλιν, οὐ περιέχει
because-of it resettled into Megalo- -polis not includes
σφᾶς γενόμενον τότε ὑπὸ τοῦ Ἀρκάδων κοινοῦ δόγμα;
them having-come-about then by the of-Arcadians commonwealth decree

12.9 οὐδέ τινα ἔστιν ἐν Ἕλλησι Τρίτειαν πόλιν ἄλλην γε
nor any it-is-possible among Greeks Tritaea city other at-least
ἢ τὴν Ἀχαιῶν εὑρεῖν. τηνικαῦτα γοῦν ἐς Ἀρκάδας ἡγοῖτο
than the of-Achaeans to-find at-that-time at-least to Arcadians would-think
ἄν τις συντελέσαι τοὺς Τριταιεῖς, καθὰ καὶ νῦν ἔτι Ἀρκάδων
— one to-have-contributed the Tritaeans just-as also now still of-Arcadians
αὐτῶν εἰσιν οἱ ἐς τὸ Ἀργολικὸν τελοῦντες. τοῦ Ἀγησάρχου
themselves are those to the Argive-league belonging — of-Agesarchus

δέ ἐστιν ἡ εἰκὼν τέχνη τῶν Πολυκλέους παίδων. τούτων
and is the statue art of-the of-Polycles sons of-these
μὲν δὴ ποιησόμεθα μνήμην καὶ ἐν τοῖς ὑστέροις τοῦ λόγου·
indeed indeed we-shall-make mention also in the later-parts of-the account

VIII · ASTYLUS, CHIONIS, AND PHEIDOLAS' MARE

